ριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον ὡς μέλλων τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ. [21]*σὺ οὖν μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύουσιν γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀνέλωσιν αὐτόν, καὶ νῦν εἰσὶν ἕτοιμοι, προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.* [22]*ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσεν τὸν νεανίσκον, παραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα ἐνεφάνισας πρός με.* [23]*καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων εἶπεν Ἑτοιμάσατε στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός,* [24]*κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα,* [25]*γράψας ἐπιστολὴν ἔχουσαν τὸν τύπον τοῦτον.* [26]*«Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.* [27]*τὸν ἄνδρα τοῦτον συλλημφθέντα ὑπὸ τῶν Ἰουδαίων καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν ἐπιστὰς σὺν τῷ στρατεύματι*

1. *τον παυλον καταγαγης εις το συνεδριον ABEe, εἰς τὸ συνέδρ. καταγ. τὸν Παῦλον ς*   *μελλων ABEe, μέλλοντές ς*   *τι* om *e* 2. *ουν ABEς*, vero *e*   *μη πισθεις E*, ne credideris *e* 3. *ενεδρευουσιν ABς, ενεδρεουσιν E*   *τεσσερακοντα A* 4. non manducare neque vivere *e* 5. *ου ABeς, ουν E*   *εισιν ετοιμοι AB Ee, ἕτοιμοί εἰσι ς* 6. *ὁ μὲν οὖν*] igitur *e*   *νεανισκον ABE, νεανίαν ς* 7. praecipiens *e*   *με AEς, εμε B* 8. advocans *e*   *δυο τινας AEeς, τινας δυο B* 10. *δεξιολαβους BEς, δεξιοβολους A*, lanciarios *e* 11. *παραστησαι ABEς*, praeparate *e*   inponentes *e* 12. *διασωσωσι ABς, διασωσουσιν E*   *φιλικα A*   scribens *e*   *εχουσαν BEe, περιεχουσαν Aς* 13. *φιλικι A* 14. *συλλημφθεντα A, συνλημφθεντα E, συλληφθέντα ς* 15. incipientes occidi *e*   superveniens *e*

conuenit rogare te ut crastina die Paulum producas in concilium, quasi aliquid [et *L*] certius inquisituri sint de illo. [21]tu uero ne credideris illis: insidiantur enim ei (*om L al*) ex eis uiri amplius [quam] quadraginta (XL *L*), qui se deuouerunt non manducare neque bibere donec interficiant eum, et nunc parati sunt, expectantes promissum tuum. (64) [22]Tribunus igitur dimisit adulescentem, praecipiens ne cui loqueretur quoniam haec nota sibi fecisset. [23]et uocatis duobus centurionibus dixit illis Parate milites ducentos, ut eant usque Caesaream, et equites (aeq. *F*) septuaginta et lanciarios ducentos, a tertia hora noctis, [24][et *om F*] iumenta praeparate, ut inponentes Paulum [eum *om L*] saluum (*om F*) perducerent ad Felicem praesidem; [25]scribens [ei *om L*] epistulam continentem haec. [26]Claudius Lysias optimo praesidi Felici salutem. [27]uirum hunc conpraehensum a Iudaeis et incipientem interfici ab eis superueniens cum exercitu eripui [et *F*]

ἐξειλάμην μαθὼν ὅτι Ῥωμαῖός ἐστιν, [28]βουλόμενός τε ἐπιγνῶναι τὴν αἰτίαν δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν· [29]ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔχοντα ἔγκλημα. [30]μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα ἔσεσθαι ἐξ αὐτῶν, ἔπεμψα πρός σέ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν αὐτοὺς ἐπὶ σοῦ.» [31]οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον ἤγαγον διὰ νυκτὸς εἰς τὴν Ἀντιπατρίδα, [32]τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς ἀπέρχεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν. [33]οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ. [34]ἀναγνοὺς δὲ καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστίν, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας, [35]Διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ

1. εξειλαμην *ABEe*, ἐξειλόμην αὐτὸν *ς* volentes *e* τε *ABE*, δὲ *eς* επιγνωναι *AB*, γνωναι *Eς*, scire *e* 2. de qua obiciebant *e* αυτον *BEeς*, *om A* 3. ηὗρον *E* accusari *e* 4. εχοντα εγκλημα *AB*, ενκλημα (ἔγκλ. *ς*) εχοντα *Eeς* 4. 5. indicatis autem mihi de insidiis *e* 6. εσεσθαι *ABE*, esse *e*, μέλλειν ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων *ς* εξ αυτων *AEe*, εξαυτης *Bς* 6. demandans *e* κατηγοροις *ABς*, *add* αυτου *Ee* αυτους *Av*, τα (*om Ee*) προς αυτον *BEeς* σου *AB*, *add* ερρωσω (-σσ *ς*) *Eeς* 7. milites ergo *e* 8. δια *ABE*, διὰ τῆς *ς* τη δε *AB Eς*, et *e* 9. απερχεσθαι *ABE*, πορεύεσθαι *ς*, ire *e* 10. εισελθοντες *ABEς*, cum venissent *e* 11. reddentes *e* και τον παυλον *ABς*, *om Ee* 12. cum legissent *e* δε *ABEe*, *add* ὁ ἡγεμὼν *ς* επηρωτησας *A* 13. πυθομενος *ABEς*, cognoscens *e* ex *e* κιλικιας *Beς*, κιλιας *E*, κηλικιας εστιν *A* δια . . . κουσομαι *tribus litteris erasis A*

cognito quia Romanus est, [28]uolensque scire causam [in] quam obiciebant illi, deduxi eum in concilium eorum; [29]quem inueni accusari de quaestionibus legis ipsorum, nihil uero dignum morte aut uinculis habentem crimen. [30]et cum mihi perlatum esset de insidiis quas parauerunt ei, misi ad te, denuntians et accusatoribus ut dicant apud te. (65) [31]Milites ergo secundum praeceptum sibi adsumentes (ass.) Paulum duxerunt per noctem in Antipatridem, [32]et postera die, dimissis equitibus ut irent cum eo, reuersi sunt ad castra. [33]qui cum uenissent Caesaream et tradidissent epistulam praesidi, statuerunt ante illum et Paulum. [34]cum legisset autem et interrogasset de qua prouincia esset, et cognoscens quia de Cilicia, [35]Audiam te, inquit

κατήγοροί σου παραγένωνται, κελεύσας ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρώδου φυλάσσεσθαι αὐτόν.

1Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ πρεσβυτέρων τινῶν καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου. 2κληθέντος δὲ αὐτοῦ ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων 3«Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ καὶ διορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας πάντῃ τε καὶ πανταχοῦ, ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. 4ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. 5εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσεις πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως, 6ὃς καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶσαι, ὃν καὶ ἐκρατή-

1. 2. *κελευσας* (iubens *e*) *εν τω πραιτωριω του* (*τω B*) *ηρωδου φυλασσεσθαι αυτον ABEe*, *Ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρώδου φυλάσσεσθαι ς*   3. *πεντε BEeς*, *τινας A*   4. *πρεσβυτερων τινων ABEe*, *τῶν πρεσβυτέρων ς*   4. 5. insinuaverunt praesidem *e*   5. *αυτον AEeς*, *om B*   6. cum multa pace habitantes *e*   7. *διορθωματων ABE*, *κατορθωμάτων ς*   *τω ABς*, *om E*   8. *φιλιξ A*   9. *εγκοπτω Bς*, *ενκοπτω AE*, protranam *e*   10. *ακουσαι σε ABς*, *σε ακουσαι Ee*   invenientes *e*   11. *λοιμον A*   *στασεις ABEe*, *στάσιν ς*   *πασι A*, *πασιν E*   12. *τε ABς*, *δε Ee*   13. *εκρατησαμεν AB et C?*, *add και κατα τον ημετερον νομον ηθελησαμεν κριναι* (*κρίνειν. ς*) 7*παρελθων* (transiens) *δε λυσιας ο χιλιαρχος μετα πολλης βιας εκ των χειρων ημων απηγαγεν* 8*κελευσας* (iubens) *τους κατηγορους αυτου ερχεσθαι προς* (ante *e*, *ἐπί ς*) *σε Eeς*

(inquid *pr* F), cum [et *L*] accusatores tui (*om* F) uenerint, iussitque in praetorio Herodis custodiri (custodi) eum. (66) 1Post quinque autem dies descendit princeps sacerdotum Ananias cum senioribus quibusdam et Tertullo quodam oratore, qui adierunt praesidem (principem *L*?) aduersus (-sum) Paulum. 2et citato Paulo coepit accusare Tertullus dicens 3Cum in multa pace agamus per te et multa corrigantur per tuam prouidentiam (prud. *F*) semper et ubique (utiq.), suscipimus, optime Felix, cum omni gratiarum actione. 4ne diutius autem te (*om F*) protraham, oro [ut *F*] breuiter audias nos pro tua clementia. 5inuenimus hunc hominem pestiferum et concitantem seditiones (-nem *pr F al*) omnibus Iudaeis in uniuerso orbe, et auctorem seditionis sectae Nazarenorum, 6qui etiam templum uiolare conatus est; quem [et *L*] adpraehendimus (apprehensum *L*) [uoluimus secundum legem nostram iudicare: 7superueniens autem Lysias tribunus

σαμεν. [8]παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.» [9]συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν. [10]ἀπεκρίθη τε ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν, «Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ· ἐπιστάμενος εὐθύμως τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, [11]δυναμένου σου ἐπιγνῶναι ὅτι οὐ πλείους εἰσίν μοι ἡμέραι δώδεκα ἀφ' ἧς ἀνέβην προσκυνήσων εἰς Ἱερουσαλήμ, [12]καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον ἢ ἐπίστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς οὔτε κατὰ τὴν πόλιν, [13]οὐδὲ παραστῆσαι δύνανταί σοι περὶ ὧν νυνὶ κατηγοροῦσίν μου. [14]ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν οὕτως λατρεύω τῷ πατρῴῳ θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ ἐν τοῖς προφήταις γεγραμμένοις, [15]ἐλπίδα ἔχων εἰς τὸν θεὸν ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι δι-

1. *παρ ου ABς, παρ ω E,* quo *e* possis *e* *αυτος BEeς,* om *A* iudicans *e* 2. *συνεπιθεντο ABE, Συνέθεντο ς* 3. *τε ABE, δὲ eς* 4. *ετων ABς, ενιαυτων E* 5. *κριτην ABς, add δικαιον Ee* *ευθυμως ABE,* longanimiter *e, εὐθυμότερον ς* 5. 6. pro me ipso satisfaciam *e* 6. *σου BEeς,* om *A* *επιγνωναι ABE, γνῶναι ς* *εισι B* 7. *δωδεκα ABEe, ἢ δεκαδύο ς* *προσκυνησων ABς, προσκυνησαι Ee* *εις AE, εν Bς* 8. *ηὗρον E* *τινα ABeς, τινας E* *η επιστασιν (ἐπισύστασιν ς) ABEς,* ad concursum *e* 10. *ουδε B, ουτε AEς* provare *e* *σοι ABEe,* om *ς* *νυνι AB, νυν Eς* heresis *e* 12. *ουτως AE, οὕτω ς* *πατρωω E* *πασι (-σιν E) AEeς,* om *B* 12. 13. *κατα τον* (om *B*) *νομον ABEς,* in lege *e* 13. *εν τοις Bς, τοις A, τοις εν τοις E,* in *e* *εις τον ABEeς, προς C* 14. *εσεσθαι ABC, add νεκρων Eeς*

cum ui magna eripuit eum de manibus nostris, [8]iubens accusatores eius ad te uenire; *L solus*] a quo poteris ipse iudicans de omnibus istis cognoscere de quibus nos accusamus eum. [9]adiecerunt autem (audierunt eum) et Iudaei dicentes haec ita (ista *F*) se habere. (67) [10]Respondit (-dens *F*) autem Paulus, adnuente sibi praeside dicere, Ex multis annis esse te (*om F*) iudicem genti huic sciens bono animo pro me satis faciam. [11]potes enim cognoscere quia non plus sunt mihi dies (d. m. *F al*) quam duodecim ex quo (qua) ascendi adorare in Hierusalem: [12]et neque in templo inuenerunt me cum aliquo disputantem aut concursum facientem turbae, neque in synagogis neque in ciuitate, [13]neque probare possunt tibi de quibus nunc accusant me. [14]confiteor autem hoc tibi, quod secundum sectam quam dicunt heresim sic deseruio (seruio *F*) patri deo meo, credens omnibus quae in lege et prophetis scripta (scribta *F*) sunt, [15]spem habens in deum quam et hi ipsi expectant, resurrectionem futuram iustorum et ini-

καίων τε καὶ ἀδίκων. [16]ἐν τούτῳ καὶ αὐτὸς ἀσκῶ ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς ἀνθρώπους διὰ παντός. [17]δι' ἐτῶν δὲ πλειόνων ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην καὶ προσφοράς, [18]ἐν αἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου οὐδὲ μετὰ θορύβου, τινὲς δὲ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, [19]οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν πρὸς ἐμέ. [20]ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν τί εὗρον ἀδίκημα· στάντος μου ἐπὶ τοῦ συνεδρίου, [21]ἢ περὶ μιᾶς ταύτης φωνῆς ἧς ἔκραξα ἐν αὐτοῖς ἑστώς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ἐφ' ὑμῶν.» [22]ἀνεβάλετο δὲ αὐτοὺς ὁ Φῆλιξ, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἴπας Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς, [23]διαταξάμενος τῷ ἑκατοντάρχῃ τηρεῖσθαι αὐτόν,

1. *και alterum* *ABCEe*, *δὲ ς*   2. **τους ABCEς*, apud *e*   *δια παντος ABCς*, *ante προς τον θεον Ee*   3. *εις το εθνος ABCEς*, in gente *e*   3. 4. *παρεγενομην BC*, post *προσφορας Ee*, *ante ελεημοσυνας ς*, *om A*   4. *αις ABCE*, *οἷς ς*   *ηὗρον E*   5. *δε AB CEe*, *om ς*   *απο ABς*, *των απο CE*, ex *e*   6. *ιουδαιοι ABeς*, *ιουδαιων CE*   *ἔδει] δει B?*   apud te *e*   7. *εμε ABCE*, *με ς*   *η BEeς*, *ει AC*   hi ipsi *e*   *τι ABCEe*, *εἴ τι ς*   *ευρον* (*ηὗρ. E*) *AB*, *add εν εμοι CEeς*   stantem me in concilio *e*   8. *η AB CEς*, nisi *e*   *ταυτης φωνης ABCς*, *φωνης ταυτης Ee*   *εκραξα BEς*, *εκ. εκραξα AC*   8. 9. *εν αυτοις εστως ABCEe*, *ἑστὼς ἐν αὐτοῖς ς*   9. ego *E*, *om C*   10. *εφ ABC*, *υφ Eeς*·   *ανεβαλετο δε αυτους ο φηλιξ ABCEe*, *Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο αὐτοὺς ς*   certissime *e*   10. 11. *τὰ περὶ]* de *e*   11. *ειπας ABC*, *ειπων Eς*, *add οτι Ee*   11. 12. audiam quae ad vos *e*   12. *διαταξαμενος ABCEς*, iussit *e*, *add τε eς*   *εκατονταρχη ABCς*, *εκατονταρχω E*   custodire *e*   *αυτον ABCEe*, *τὸν Παῦλον ς*

quorum. [16]in hoc et ipse studeo sine offendiculo conscientiam habere ad deum et ad homines semper. [17]post annos autem plures elemosynas facturus in gentem meam ueni et oblationes et uota, [18]in quibus inuenerunt me purificatum in templo, non cum turba neque cum tumultu, quidam autem ex Asia Iudaei, [19]quos oportebat apud te praesto esse et accusare (-rent *F al*), siquid haberent aduersum me. [20]aut hi ipsi dicant siquid inuenerunt in me iniquitatis, cum stem in concilio, [21]nisi de una hac (ac *F*) solum modo uoce, qua clamaui inter eos stans quoniam de resurrectione mortuorum ego iudicor hodie a uobis. (68) [22]Distulit autem illos Felix, certissime sciens de uia (*sic corr L:* ui *F*, uiro *al*, uia hac *al*), dicens Cum tribunus Lysias descenderit (-ret) (d. L. *L*), audiam uos, [23]iussitque centurioni custodire

ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν αὐτῷ.

[24]Μετὰ δέ τινας ἡμέρας παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ ἰδίᾳ γυναικί, οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς χριστὸν Ἰησοῦν πίστεως. [25]διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος, ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη Τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε, [26]ἅμα καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ. [27]διετίας δὲ πληρωθείσης ἔλαβεν διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον, θέλων τε χάριτα καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ κατέλιπεν τὸν Παῦλον δεδεμένον.

1. *τε ABCEς*, tamen *e* *αυτου ABCς, om Ee* ministrari *e* 2. *αυτω ABCEe, ἢ προσέρχεσθαι αὐτῷ ς* 3. *τινας ημερας AEe, ημερας τινας BCς* *παραγενος A*, adveniens *e* *σὺν*] *σουν A* *δρουσιλλι E* 4. *ιδια γυναικι B, ιδια γυν. αυτου A, γυναικι αυτου Eeς, γυναικὶ C* vocavit *e* 5. *περὶ τῆς*] quae est *e* *ιησουν BEe, om Aς et C?* fides *e* 6. *ενκρατιας E* 6. 7. *κριματος του μελλοντος* (*add ἔσεσθαι ς*) *ABEeς, μελλοντος κριματος C* 7. *εμφοβος* (*ενφ. E*) *BCEeς, add δε A* *το νυν ABCeς, τοινυν E* 8. *καιρον δε μεταλαβων* (*παραλαβων A*) *ABCς, καιρω δε επιτηδιω Ee* *μετακαλεσομε σε E*, accersiautem *e* *αμα ABCEe, add δὲ ς* 9. pecunia detur *e* *αυτω ACEeς, om B* *παυλον ABCEe, add ὅπως λύσῃ αὐτόν ς* 10. frequenter *e* *ωμιλει ABEς, διελεγετο C*, loquebatur cum *e* 11. *τε ABCEς*, autem *e* 12. *χαριτα ABC, χαριν E*, gratiam *e*, *χάριτας ς* *φιλιξ A*

eum, et habere requiem, nec quemquam prohibere de suis ministrare ei. [24]post aliquot (-quod *pr F*) autem dies ueniens Felix cum Drusilla uxore sua, quae erat Iudaea, uocauit Paulum et audiuit ab eo (ea) fidem quae est in Iesum Christum (Iesu Christo *F*), [25]disputante autem illo de iustitia et [de *L*] castitate et de iudicio futuro, timefactus (tremef. *L*?) Felix respondit Quod nunc attinet (adt.), uade: tempore autem oportuno accersiam (arcessiam *L*) te; [26]simul et sperans quia pecunia daretur ei (ei d. *F al*) a Paulo, propter quod et frequenter accersiens (arcessiens *L*) eum loquebatur cum eo. [27]biennio autem expleto accepit successorem Felix Porcium (Port.) Festum: uolens autem gratiam praestare Iudaeis Felix reliquit (-quid *pr F al*)

[1]Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας, [2]ἐνεφάνισάν τε αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτὸν [3]αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. [4]ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον εἰς Καισάρειαν, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι· [5]Οἱ οὖν ἐν ὑμῖν, φησίν, δυνατοὶ συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ ἄτοπον, κατηγορείτωσαν αὐτοῦ. [6]διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας οὐ πλείους ὀκτὼ ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ

1. *ουν ABCEeς,* autem *Lucif* 153   cum venisset *e Lucif*   *τη επαρχια (-χειω A) ABCEς,* in provinciam (-cia *e*) *e Lucif*   *μετα τρεις ημερας ABCEeς,* praeses *Lucif*   2-5. *ἀπὸ καισαρείας . . . ἱερουσαλήμ om Lucif*   2. *τε ABC, δε Eeς*   *οι αρχιερεις ABCEe, ὁ ἀρχιερεὺς ς*   3. priores *e*   4. *κατ ABEeς, παρ C*   *αὐτὸν*] *αυτου C*   *ιερουσαλημ ABCeς, ϊεροσολυμα E*   5. facientes *e,* tendentes *Lucif*   *ανελειν (αναιλ. A) αυτον ABCEς,* ut eum interficerent (int. eum *Lucif*) *e Lucif*   in via *e Lucif*   5. 6. festus igitur (ergo *Luc*) *e Lucif*   6. *τηρεισθαι τον παυλον ABCEeς,* paullum quidem servari *Lucif* 153   *εις καισαρειαν (-ριαν AE) ABCE, ἐν καισαρείᾳ eς Lucif*   7. *μελλειν ABCς, om Ee Lucif*   maturius *e Lucif*   profecturum *e,* proficisci *Lucif*   qui-erergo *e,* itaque qui *Lucif*   7. 8. *εν υμιν φησιν (φησι B) δυνατοι (add* sunt *e) ABC Ee,* inter vos sunt *Lucif* 153, *δυνατοὶ ἐν ὑμῖν, φησί, ς*   8. *συγκαταβαντες (συνκ. ACE) ABCEς,* descendentes *e,* descendant et *Lucif*   *ατοπον ABCE,* inlicitum *e,* crimen *Lucif, τούτῳ ς*   9. *δε ABCEeς,* ergo *Lucif*   *ημερας ABCEeς,* post decem *Lucif*   *ου ABCe Lucif, om Eς*   *πλειονας B*   *οκτω ABCEe Lucif, om ς*   10. descendens in *e,* descendit *Lucif*   *τη BCEς, και τη A Lucif,* in *e*   sedens (sedit *Lucif*) pro *e Lucif*

Paulum uinctum. [1]Festus ergo cum uenisset in prouinciam, post triduum ascendit Hierosolymam a Caesarea, [2]adieruntque (audier. *F*) eum principes sacerdotum et primi Iudaeorum aduersus Paulum, et rogabant eum [3]postulantes gratiam aduersus (-sum *L*) eum, ut iuberet perduci eum in (*om al*) Hierusalem, insidias tendentes ut eum interficerent in uia. [4]Festus autem respondit seruari [quidem] Paulum in Caesarea, se autem maturius profecturum: [5]Qui ergo in uobis, ait, potentes sunt, descendentes simul, si quod est in uiro crimen, accusent (-sant) eum. [6]demoratus autem inter eos dies (d. i. e.) non amplius [quam *om F*] octo aut decem, [et] descendit Caesaream, et

βήματος ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. [7]παραγενομένου δὲ αὐτοῦ περιέστησαν αὐτὸν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιώματα καταφέροντες, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι [8]τοῦ Παύλου ἀπολογουμένου ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι ἥμαρτον. [9]ὁ Φῆστος δὲ θέλων τοῖς Ἰουδαίοις χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπεν Θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κριθῆναι ἐπ' ἐμοῦ; [10]εἶπεν δὲ ὁ Παῦλος «Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. [11]εἰ μὲν οὖν ἀδικῶ καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσίν μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι.

1. *εκελευσε A*, *-σεν CE*, et iussit *Lucif* *τον παυλον αχθηναι A BCEeς*, citari paullum *Lucif* adveniente autem eo *e*, qui cum adductus esset *Lucif* 153 2. *αυτον ABCe*, *αυτω E*, eum iudaei *Lucif*, *om ς*' *ἰουδαῖοι om Lucif* 3. *βαρια E* *αιτιωματα A BCE*, *αἰτιάματα ς* *καταφεροντες ABC*, *επιφεροντες E*, obicientes *e Lucif*, *φέροντες ς*, *add τω παυλω Ee*, *add κατὰ τοῦ Παύλου ς* quae probare non poterant *Lucif* 4. *του* (*του δε Ee Lucif*) *παυλου απολογουμενου ABCEe Lucif*, *Ἀπολογουμένου αὐτοῦ ς* 5. *ημαρτον ABCEeς*, deliquerit *Lucif* 153 6. *δε BC Eeς*, *ουν A* *θελων τοις* (*om B*) *ιουδαιοις ABCEe*, *τοῖς Ἰουδαίοις θέλων ς* *χαριτα A* 7. ascendens *e* *κριθηναι AB CE*, *κρίνεσθαι ς* 8. *ὁ om A* *εστως ACEeς*, *ante επι του B* 9. *ουδεν ηδικησα* (*-κηκα B*) *ABCEς*, non nocui *e* 10. *επιγινωσκεις ABEς*, *γινωσκεις C* *μεν ουν ABCE*, *μὲν γὰρ ς*, quidem *e* nocui *e* *και ABCς*, *η Ee* 11. *δὲ*] *δει E* 12. *ουτοι bis Ee* *κατεγορουσιν E* *αυτοις ABEeς*, *τουτοις C*

altera die sedit pro tribunali et iussit Paulum adduci. [7]qui cum perductus esset, circum steterunt eum qui ab Hierosolyma (Hierus.) descenderant Iudaei, multas et graues causas obicientes, quas non poterant probare. [8]Paulo autem rationem (-one *pr F*) reddente quoniam neque in legem (lege *F al*) Iudaeorum neque in templum (templo *F*) neque in Caesarem (Caesare *F*) quicquam peccaui. [9]Festus autem nolens Iudaeis gratiam praestare respondens (-dit *L*) Paulo [et *L*] dixit Vis Hierosolymam (-ma *L*) ascendere et ibi de his iudicari apud me? [10]dixit autem Paulus Ad tribunal Caesaris sto, ibi (ubi *L*) me oportet iudicari (-re). Iudaeis (-os *L*) non nocui, sicut tu melius nosti. [11]si enim nocui aut dignum (indignum *F*) morte aliquid feci, non recuso mori: si uero nihil est eorum quae hi (hic *pr F*, isti *L*) accusant me, nemo potest me illis donare. Caesarem ap-

Καίσαρα ἐπικαλοῦμαι.» [12]τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ
συμβουλίου ἀπεκρίθη Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ.
[13]Ἡμερῶν δὲ διαγενομένων τινῶν Ἀγρίππας ὁ βασιλεὺς καὶ
Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον. [14]ὡς
δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο
τὰ κατὰ τὸν Παῦλον, λέγων «Ἀνήρ τίς ἐστιν καταλελειμμένος ὑπὸ
Φήλικος δέσμιος, [15]περὶ οὗ γενομένου μου εἰς Ἱεροσόλυμα ἐνεφά-
νισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι
κατ᾽ αὐτοῦ καταδίκην· [16]πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ ἔστιν ἔθος
Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον πρὶν ἢ ὁ κατηγορούμενος
κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους τόπον τε ἀπολογίας λάβοι
περὶ τοῦ ἐγκλήματος. [17]συνελθόντων οὖν αὐτῶν ἐνθάδε ἀναβολὴν
μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα
ἀχθῆναι τὸν ἄνδρα· [18]περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν

1. κεσαρα *A* συνλαλησας *CE* 2. συμβουλιου (συνβ. *E*) *AB Eς*, συνεδριω *C* επικεκλησαι *ABCeς*, επικαλισαι (i. e. ἐπικαλεῖσαι) *E* 4. βερονικη *Ce* κατηντησαν (-σεν *C*) *ABCEς*, demorati sunt *e* ασπασομενοι *Bς*, salutandum *e*, ασπασαμενοι *AE* et *C*? 5. 6. indicavit de paulo *e* 7. ενεφανισαν *ABCς* et add μοι *E*, adierunt *e* 9. καταδικην *ABC*, δικην *Eeς* 10. τινα *ABEeς*, τινι *C* ανθρωπον *ABCEe*, add εἰς ἀπώλειαν *ς* 11. κατὰ πρόσωπον] praesentes *e* τοπον τε *ACς*, et locum *e*, τοπον δε *BE* 12. ενκληματος *CE* convenientium enim *e* αυτων ενθαδε *AEeς*, ενθαδε αυτων *C*, ενθαδε *B* 12. 13. αναβολην μηδεμιαν *ABCς*, μηδεμιαν αναβολην *Ee* 13. faciens *e*

pello. [12]tunc Festus cum (*om F*) consilio locutus (loqu.) respondit
Caesarem appellasti, ad Caesarem ibis. (69) [13]Et cum dies aliquot
(-quod *pr F*) transacti essent, Agrippa rex et Bernice (-cae *pr F*)
descenderunt Caesaream ad salutandum Festum. [14]et cum dies plu-
res [aliquot *L*?] ibi demorarentur, Festus regi indicauit de Paulo,
dicens Vir quidam est derelictus a Felice uinctus, [15]de quo, cum
essem Hierosolymis (Hierus.), adierunt me principes sacerdotum et
seniores Iudaeorum, postulantes aduersus illum damnationem; [16]ad
quos respondi quia non est consuetudo Romanis donare aliquem ho-
minem prius quam is (his *pr F*) qui accusatur praesentes (-tis) ha-
beat accusatores locumque defendendi accipiat ad abluenda crimina.
[17]cum ergo huc conuenissent, sine ullā dilatione sequenti die sedens
pro tribunali iussi (iussit *F*) adduci uirum; [18]de quo cum stetissent
accusatores nullam causam deferebant de quibus ego suspicabar (-bor)

αἰτίαν ἔφερον ὧν ἐγὼ ὑπενόουν πονηράν, [19]ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτόν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. [20]ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτων ζήτησιν ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱεροσόλυμα κἀκεῖ κρίνεσθαι περὶ τούτων. [21]τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ ἀναπέμψω αὐτὸν πρὸς Καίσαρα.» [22]Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. Αὔριόν φησιν ἀκούσῃ αὐτοῦ.

[23]Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε χιλιάρχοις καὶ ἀνδράσιν τοῖς κατ' ἐξοχὴν τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου ἤχθη ὁ Παῦλος. [24]καί φησιν ὁ Φῆστος «Ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ οὗ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι

1. *εφερον ABCE*, deferebant *e*, *ἐπέφερον ς* *εγω υπενοουν ABC*, *υπενοουν εγω Eeς* *πονηραν AC*, *πονηρων BEe*, *om ς* 2. *αυτον BCEeς*, *αυτους A* 3. 4. *εις* (om *A*) *την περι τουτων* (*τούτου ς*) *ζητησιν ABCEς*, de huius modi quaestione *e* 4. *εἰς* om *e* *ιεροσολυμα ABCEe*, *Ἱερουσαλὴμ ς* 6. *τηρηθηναι ABEς*, *τηρεισθαι C* 7. *αναπεμψω ABCEe*, *πέμψω ς* 8. *φηστον AB*, *add εφη CEς*, *add* dixit *e* 9. *αυριον AB*, *ο δε αυριον CEeς* 10. *ουν ABCEς*, vero *e* *ελθοντος ABCeς*, *εισελθοντος E* *βερονικης Ce* 12. *τε om e* *χιλιαρχοις ABCE*, *τοῖς χιλ. ς* *καὶ prius om C* *τοις ABCeς*, *και τοις E* *κατ* (*καθ C*) *εξοχην ABCEς*, principalibus *e*, *add ουσιν Eeς* 14. *συνπαροντες ACE* 15. *απαν ABCE*, *πᾶν ς* *ενετυχον ACEς*, interpellaverunt *e*, *ενετυχε B*

malam (*sic L*: malum *ceteri*), [19]quaestiones uero quasdam de sua superstitione habebant aduersus eum, et de quodam Iesu defuncto, quem adfirmabat (aff.) Paulus uiuere. [20]haesitans autem ego de huius modi quaestione dicebam si uellet ire Hierosolymam (Hierus. *al*, Hierosolyma *L*) et ibi iudicari de istis. [21]Paulo autem appellante (-tem *pr F*) ut seruaretur ad Augusti cognitionem (s. A. cognitioni *F al*), iussi seruari eum donec mittam eum ad Caesarem. [22]Agrippa autem ad Festum [dixit] Volebam (-bat *pr F*) et ipse hominem audire. Cras, inquit (inquid *pr F*), audies eum. [23]altera autem die cum uenisset Agrippa et Bernice (-cae *pr F*) cum multa ambitione et intro issent in auditorium (adiut.) cum tribunis et uiris principalibus ciuitatis, [et *L*] iubente Festo adductus est Paulus. [24]et dixit (dicit) Festus Agrippa rex et omnes qui simul adestis nobiscum uiri, uidetis hunc de quo omnis multitudo Iudaeorum interpellauit me Hiero-

ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε βοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι. [25]ἐγὼ δὲ κατελαβόμην μηδὲν ἄξιον αὐτὸν θανάτου πεπραχέναι, αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν σεβαστὸν ἔκρινα πέμπειν. [26]περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω, διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης σχῶ τί γράψω· [27]ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι.» [1]Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη Ἐπιτρέπεταί σοι περὶ σεαυτοῦ λέγειν. τότε ὁ Παῦλος ἐκτείνας τὴν χεῖρα ἀπελογεῖτο. [2]«Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον ἐπὶ σοῦ μέλλων σήμερον ἀπολογεῖσθαι, [3]μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων. διὸ

1. ἔν τε om e   ιεροσολυμιοις ABCeς, ιερουσαλημ E   καὶ ἐνθάδε om e   βοωντες AB, επιβοωντες CEς, exclamantes e   αυτον ζην ABCEe, ζῆν αὐτὸν ς   2. κατελαβομην ABCE, compertus e, καταλαβόμενος ς   αυτον θανατου ABCEe, θανάτου αὐτὸν ς   3. αυτου ABCEe, καὶ αὐτοῦ ς   τούτου] του παυλου B?   πεμπειν ABC, add αυτον Eeς   4. de quo scribam domino non habeo propter quod non habeo propter quod e   ασφαλες ABEς, ασφαλως C   προηγαγον BCeς, προσηγαγον E, επηγαγον A   5. coram vos e   ante te e   6. ανακρισεως ABCς, interrogatione e, κρισεως E   σχω BCς, εχω AE   γραψω ABCe, γραψαι Eς   mittere e   7. μη ABCς, ante σημαναι Ee   8. σοι om e   περι ACEe, υπερ Bς   loqui e   9. απελογειτο ABCEe, ante ἐκτείνας ς   10. ενκαλουμαι CE   11. επι σου μελλων σημερον απολογεισθαι (απολ. σημ. Ee) ABCEe, μέλλων ἀπολογεῖσθαι ἐπὶ σοῦ σήμερον ς   11. 12. γνωστην οντα σε ABEς, γν. σε οντα C, scientiam habenti e   12. παντων BCEeς, om A   κατα ιουδαιους (-δαιων E) ABCEς, apud iudaeos e   εθνων A   ζητηματων BEeς, add επισταμενος AC

solymis petens (petentes) et hic (ac) clamantes non oportere eum uiuere (uid. pr F) amplius. [25]ego uero conperi (comp. V al) nihil dignum eum morte admisisse, ipso autem hoc appellante ad Augustum iudicaui mittere. [26]de quo quid certum scribam domino non habeo; propter quod produxi eum ad uos et maxime ad te, rex Agrippa, ut interrogatione facta habeam quid scribam: [27]sine ratione enim mihi uidetur mittere uinctum et causas eius non significare. [1]Agrippa uero ad Paulum ait Permittitur (-ttetur F) tibi loqui pro temet ipso. (70) Tunc Paulus extenta manu coepit rationem reddere. [2]De omnibus quibus accusor a Iudaeis, rex Agrippa, aestimo me beatum, apud (a F) te cum sim defensurus me hodie, [3]maxime te sciente omnia quae apud Iudaeos sunt consuetudines et quaestiones. propter quod

δέομαι μακροθύμως ἀκοῦσαί μου. [4]τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἔν τε Ἱεροσολύμοις, ἴσασι πάντες Ἰουδαῖοι [5]προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος· [6]καὶ νῦν ἐπ' ἐλπίδι τῆς εἰς τοὺς πατέρας ἡμῶν ἐπαγγελίας γενομένης ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος, [7]εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι, περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ. [8]τί ἄπιστον κρίνεται παρ' ὑμῖν εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; [9]ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι, [10]ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλούς τε τῶν ἁγίων ἐγὼ ἐν φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών, ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον, [11]καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τι-

1. *δεομαι (δαιομε A) ABEe, add σου Cς ακουσε C* et quidem vitam meam *e* 2. *την (om BC) εκ νεοτητος την απ αρχης AB Cς, την απ αρχης την εκ νεοτητος E,* ab initio iuventutis *e τε ABE, om Ceς* 3. *ισασι B, ἴσασι A, ισασιν CE παντες BCE, add οι Aς et corr C* 4. *θελωσι Aς, θελωσιν CE* 5. *θρησκιας E* in spe *e εις ABE, προς Cς,* ad *e* 6. *ημων AB CEe, om ς* 7. *εν εκτενια ACE,* ex tenecitate *e* 8. *ελπιζειν E καταντησαι ACEeς, καταντησειν B ενκαλουμαι C* 8. 9. *υπο ιουδαιων βασιλευ (om A) ABCEeς, βασιλεῦ Ἀγρίππα ὑπὸ τῶν Ἰουδαίων ς* 10. *μεν ουν ACEς,* quidem *e, ουν B* 11. *δεῖν]* deve *e ο· ACEeς, διο B* 12. *τε ACE, om Beς εν ABCEe, om ς* 13. *αναιρουμενων τε αυτων (om E) ABCEς,* cum occiderent autem *e* 14. super omnes *e*

obsecro patienter me audias. [4]et quidem uitam meam a iuuentute, quae ab initio fuit (fui) in gente mea [in om F] Hierosolymis, nouerunt omnes Iudaei [5]praescientes me ab initio, si uelint testimonium perhibere, quoniam secundum certissimam sectam nostrae religionis uixi Pharisaeus: [6]et nunc in spe (n. ipse) quae ad patres nostros repromissionis facta est a deo, sto iudicio subiectus, [7]in qua duodecim tribus nostrae nocte ac die deseruientes (seru. F) sperant deuenire; de qua spe accusor a Iudaeis, rex. [8]quid incredibile iudicatur apud uos, si deus mortuos suscitat? [9]et ego quidem existimaueram me aduersus nomen Iesu Nazareni debere multa contraria (contra *pr L*) agere; [10]quod et feci Hierosolymis (Hierus.), et multos sanctorum ego in carceribus inclusi, a principibus sacerdotum potestate accepta, et cum occiderentur (-rent) detuli sententiam, [11]et per omnes synagogas frequenter puniens eos compellebam blasphe-

μωρῶν αὐτοὺς ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. [12]ἐν οἷς πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῶν ἀρχιερέων, [13]ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους, [14]πάντων τε καταπεσόντων ἡμῶν εἰς τὴν γῆν ἤκουσα φωνὴν λέγουσαν πρός με τῇ Ἑβραΐδι διαλέκτῳ Σαοὺλ Σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. [15]ἐγὼ δὲ εἶπα Τίς εἶ, κύριε; ὁ δὲ κύριος εἶπεν Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις. [16]ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες ὧν τε ὀφθήσομαί σοι, [17]ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ ἐκ τῶν ἐθνῶν, εἰς οὓς ἐγὼ ἀποστέλλω σε [18]ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι

1. τε *ACeς*, δε *E*, om *B* εμμενος *E*, insaniens *e* 2. inter exteras *e* οις *ABCEe*, οἷς καὶ ς introiens *e* 3. την *BCς*, om *AE* των *AEe*, της των *B*, της παρα των *Cς* 4. ειδον (ιδ. *A*) *ABEeς*, ιδου *C* 5. circumfulsisse me *e* 6. τε *ABEe*, δε *Cς* ημων *ACEeς*, om *B* 7. φωνην λεγουσαν *ABC*, φωνης λεγουσης *E*, φωνὴν λαλοῦσαν *eς* με *ABCEe*, add καὶ λέγουσαν ς σαουλ σαουλ *ABCς*, σαυλε σαυλε *Ee* 8. contra stimulum calcitrare *e*, calcem mittere contra stimulum *Lucif* 226 ειπα *ABCE*, εἶπον ς 9. κυριος *ABCEe*, om ς ειπεν *ABCς*, add προς με *Ee* 10. ad hoc *e* 11. προχειρασθαι *A* υπηρετιν *E* ων τε *AB CEς*, eorum quae *e* ειδες *AEeς*, ειδες με *B*, ειδες ... *C* et eorum quibus *e* 12. ωφθησομε *E* και εκ *ABE*, και *Ceς* 13. εγω *ABCEe*, νῦν ς αποστελλω (ἐξαπ. *C*) σε *ABCEe*, σε ἀποστέλλω ς αυτων *ABCς*, τυφλων *Ee* επιστρεψαι *BCEeς*, αποστρεψαι *A*

mare, et amplius insaniens in eos persequebar usque in exteras ciuitates. [12]in quibus dum irem Damascum cum potestate et permissu principum sacerdotum, [13]die media in uia uidi (uidi in uia *L*), rex, de caelo supra splendorem solis circum fulsisse me lumen et eos qui mecum simul (s. m. *F al*) erant, [14]omnesque nos cum (n. c. *om al*) decidissemus in terram (terra *V*), audiui uocem loquentem mihi Hebraica lingua Saule Saule, quid me persequeris? durum est tibi contra stimulum calcitrare. [15]ego autem dixi Quis es, domine? dominus autem dixit Ego sum (*om L*) Iesus quem tu persequeris. [16]sed exsurge (exurge *al*, et surge *L*) et sta super pedes tuos: ad hoc enim apparui tibi, ut constituam te ministrum et testem eorum quae uidisti et eorum quibus apparebo tibi, [17]eripiens te de populo (-lis *L al*) et [de *F*] gentibus, in quas nunc ego (e. n. *F*) mitto (mittam) te [18]aperire oculos (corda) eorum, ut conuertantur a (de) tenebris ad

ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. [19]ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, [20]ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτόν τε καὶ ἐν Ἱεροσολύμοις πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ τοῖς ἔθνεσιν ἀπήγγελλον μετανοεῖν καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. [21]ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. [22]ἐπικουρίας οὖν τυχὼν τῆς ἀπὸ τοῦ θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι καὶ Μωυσῆς, [23]εἰ παθητὸς ὁ χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν.» [24]ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου ὁ

1. de tenebris in luce *e* *της ABς, απο της CE,* de *e* 2. et accipiant eis *e* *ηγιασμενοις ABCς, add πασιν Ee* 4. *τε AB, om Eeς* 5. *εν AE,* his qui in *e, om Bς* *ιεροσολυμοις ABeς, ιερουσαλημ E* *πασαν AB, εις πασαν Eeς* *τε ABEς,* quidem *e* 6. *αξια ABς, add τε* (quoque) *Ee* 7. 8. *με οἱ* (*om B*) *ιουδαιοι συλλαβομενοι Bς, οι ιουδαιοι συλλαβομενοι με A, οι ϊουδαιοι με συνλαβομενοι οντα Ee* 8. *επηρωντο E* *διαχειρησασθαι A* 9. *ουν ABEς,* quoque *e* *απο ABE, παρὰ ς* *της ημερας ταυτης ABEς,* hunc diem *e* *μαρτυρομενος AB, μαρτυρουμενος Eς* 10. *μικρω τε και μεγαλω ABEς,* minori ac maiori *e* *ων τε ABEς,* ea quae *e* 11. futura esse *e* *μωυσης B, μωσης AEeς* 12. incipiet *e* *καταγγελλειν ABς, καταγγελλει E,* adnuntiari *e* 13. *τε ABE, om eς* *αυτου ABς, λαλουντος αυτου και Ee* respondente *e*

lucem et de potestate satanae ad deum, ut (uti *L*) accipiant remissionem peccatorum [suorum *L*] et sortem inter sanctos per fidem quae est in me (imme). [19]unde, rex Agrippa, non fui incredulus caelestis uisionis, [20]sed his qui sunt Damasci primum et Hierosolymis et in (*om al*) omnem regionem (omni regione *FL*) Iudeae et gentibus adnuntiabam ut (et) paenitentiam agerent et conuerterentur ad deum, digna paenitentiae opera facientes. [21]hac ex causa me Iudaei, cum essem in templo, conpraehensum (compreh.) temptabant (temt. *F*) [uolentes me] interficere. [22]auxilio autem adiutus dei usque in hodiernum (odiern.) diem sto testificans minori atque maiori, nihil extra dicens quam ea quae prophetae sunt locuti (loquuti) futura esse et Moyses (Mos. *FL*), [23]si passibilis Christus, si primus ex resurrectione mortuorum lumen (lumina) adnuntiaturus (ann.) est populo et gentibus. (71) [24]Haec loquente eo et rationem reddente (-tem

Φῆστος μεγάλῃ τῇ φωνῇ φησίν Μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. [25]*ὁ δὲ Παῦλος Οὐ μαίνομαί φησιν, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι.* [26]*ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.* [27]*πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις.* [28]*ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν ποιῆσαι.* [29]*ὁ δὲ Παῦλος Εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν μεγάλῳ οὐ μόνον σὲ ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους ὁποῖος κἀγώ εἰμι παρεκτὸς τῶν δεσμῶν τούτων.* [30]*ἀνέστη τε ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν ἥ τε Βερνίκη καὶ οἱ συγκαθήμενοι αὐτοῖς,* [31]*καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους λέγοντες ὅτι οὐδὲν θανάτου ἢ δεσμῶν ἄξιον πράσσει ὁ ἄνθρωπος*

1. *φησιν ΑΒΕ, ἔφη* ϛ, ait *e* *μενη Ε* *γραμματα ΒΕeϛ, add επιστασθε Α* 2. ad insaniam *e* *παυλος ΑΒΕe, om* ϛ 3. *αλλα ΑΕ, αλλ Βϛ* verba mitto *e* 4. *επιστατε Ε* *και ΑΕeϛ, om Β* 5. *τι ΑΕeϛ, om Β* *πιθομαι Ε,* conicior *e* 6. *ου Α, ουδε Ε,* nihil *e, ουθεν (οὐδέν* ϛ) *ου Βϛ* 8. *παυλον ΑΒ, add εφη Εeϛ* *πειθεις Βϛ, πιθεις Ε,* suadis *e, πειθη Α* *ποιησαι ΑΒ, γενεσθαι Εeϛ* 9. *ευξαιμην ΑΒ, εἶπεν Εὐξαίμην* ϛ *μεγαλω ΑΒ, πολλῷ* ϛ 11. *καγω Αϛ, και εγω Β* 12. *ανεστη τε ΑΒ, Καὶ ταῦτα εἰπόντος αὐτοῦ ἀνέστη* ϛ *συνκαθημενοι Α* 14. *θανατου η δεσμων αξιον Β, αξιον θανατου η δεσμων τι Α, θανάτου ἄξιον ἢ δεσμῶν* ϛ

F) Festus magna uoce (u. m.) dixit Insanis, Paule: multae te litterae ad insaniam conuertunt. [25]at (*sic F*: ait *L*, et *ceteri*) Paulus Non insanio, inquit (*om L*, inquid *pr F*), optime Feste, sed ueritatis et sobrietatis uerba eloquor (loq. *L al*). [26]scit enim de his rex, ad quem et constanter loquor: latere enim eum nihil horum arbitror: neque enim in angulo quicquam horum gestum est. [27]credis, rex Agrippa, prophetis? scio quia credis. [28]Agrippa autem ad Paulum In modico suades me Christianum fieri. [29]et Paulus Opto apud deum et in modico et in magno non tantum te sed et omnes [hos *om F*] qui audiunt hodie fieri tales qualis et ego sum exceptis uinculis his. [30]et exsurrexit (surr. *F*) rex et praeses et Bernice (-cae *pr F*) et qui adsidebant (adsed.) eis, [31]et (qui *F al*) cum secessissent, loquequebantur ad inuicem dicentes quia nihil morte aut uinculis (-lorum

οὗτος. [32]Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη Ἀπολελύσθαι ἠδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπικέκλητο Καίσαρα.

[1]Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνόματι Ἰουλίῳ σπείρης σεβαστῆς. [2]ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ μέλλοντι πλεῖν εἰς τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως, [3]τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα, φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος ἐπέτρεψεν πρὸς τοὺς φίλους πορευθέντι ἐπιμελείας τυχεῖν. [4]κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους, [5]τό τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες κατήλθομεν εἰς Μύρρα τῆς Λυκίας. [6]κἀκεῖ εὑρὼν ὁ ἑκατοντάρχης πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. [7]ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην, [8]μό-

1. ηδυνατο *B*, εδυνατο *A*ς 2. επικεκλητο *A*, επεκεκλητο *B*ς 3. παρεδιδουν *B*ς, παρεδιδου *A* 5. αδραμυττηνω *B*ς, αδραμυντηνω *A* 6. μελλοντι *AB*, μέλλοντες ς εις *AB*, om ς 8. ιουλιος *B*ς, ιουλιανος *A* 9. τους *AB*, om ς πορευθεντι *B*, πορευθέντα ς 12. κατηλθομεν *B*ς, κατηλθαμεν *A* μυρρα *B*, Μύρα ς, λυστρα *A* λικυας *A* 13. κακει *B*ς, κακειθεν *A* εκατονταρχης *AB*, -χος ς αλεξανδρηνον *A*

L) dignum quid fecit homo iste. [32]Agrippa autem Festo dixit Dimitti poterat homo hic, si non appellasset Caesarem. [1]ut autem iudicatum est eum nauigare in Italiam, et tradi Paulum cum reliquis custodiis centurioni nomine Iulio cohortis (coortis) Augustae. (72) [2]ascendentes autem nauem Hadrumetinam (Adr., -ment.), incipientes nauigare circa Asiae loca, sustulimus (egressi sumus *L al*) perseuerante nobiscum Aristarcho (Aristh. *F*, -arco *F al*) Macedone (Mach. *F*) Thessalonicense (Thessall. *F*, Thesal. *al*). [3]sequenti autem die deuenimus (uen.) Sidonem. humane (-nae *pr F*) autem tractans Iulius Paulum permisit ad amicos ire et curam sui agere. [4]et inde cum sustulissemus, subnauigauimus Cyprum (Cypro *L al*) propterea quod essent uenti contrarii, [5]et pelagus (pelagum *pr F al*) Ciliciae et Pamphyliae (-phil. *F*) nauigantes uenimus Lystram (Lystrae *F*) quae est Lyciae (Lic., Ciliciae *L*). [6]et ibi inueniens centurio nauem Alexandrinam nauigantem in Italiam, transposuit nos in eam. [7]et cum multis diebus tarde nauigaremus et uix deuenissemus contra Gnidum (Cium *L*) prohibente nos uento, adnauigauimus (nau.) Cretae iuxta (secundum *L al*) Salmo-

λις τε παραλεγόμενοι αὐτὴν ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Ἄλασσα. [9]ἱκανοῦ δὲ χρόνου διαγενομένου καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος [10]λέγων αὐτοῖς Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. [11]ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ μᾶλλον ἐπείθετο ἢ τοῖς ὑπὸ Παύλου λεγομένοις. [12]ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείονες ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι λιμένα τῆς Κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον. [13]ὑποπνεύσαντος δὲ νότου δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἄσσον παρελέγοντο τὴν Κρήτην. [14]μετ' οὐ πολὺ δὲ ἔβαλεν κατ' αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλούμενος εὐρακύλων· [15]συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα. [16]νησίον δέ τι ὑποδραμόντες καλούμενον Καῦδα, ἰσχύσαμεν μόλις περικρατεῖς γενέσθαι

1. *τινα Bς, om A* 2. *ην πολις Bς, πολις ην A* *αλασσα A, λασεα B, Λασαία ς* 6. *φορτιου AB, φόρτου ς* 7. *εκατονταρχης AB, -χος ς* 8. *μαλλον επιθετο AB, ἐπείθετο μᾶλλον ς* *υπο AB, ὑπὸ τοῦ ς* 9. *πλειονες AB, πλείους ς* 10. *εκειθεν AB, κἀκεῖθεν ς* *δυναιντο Bς, δυνανται A* 13. *ἄσσον ς* 14. *ευρακυλων AB, ευρα^{υ}κυ^{λ}δων et ευρυκλυδων B in margine, Εὐροκλύδων ς* 17. *καυδα B, κλα.... A, Κλαύδην ς* *ισχυσαμεν μολις AB, μόλις ἰσχύσαμεν ς*

nem, [8]et uix iuxta nauigantes uenimus in locum quendam qui uocatur Boni portus, cui (cum) iuxta erat ciuitas Thalassa (Thaslassa, Thassala). [9]multo autem tempore peracto, et cum iam non esset tuta nauigatio eo quod [et *L*] ieiunium iam praeterisset, consolabatur Paulus [10]dicens eis Viri (*om al*), uideo quoniam cum iniuria et multo damno non solum oneris et nauis sed etiam animarum nostrarum incipit esse nauigatio. [11]centurio autem gubernatori (-torio) et nauclerio (-ro) magis credebat quam his quae a Paulo dicebantur. [12]et cum aptus portus non esset ad hiemandum, plurimi statuerunt consilium nauigare inde, si quo modo possent deuenientes Phoenicem (Phen., -ce *F al*, -cen *L?*) hiemare, portum Cretae respicientem ad Africum (Affr.) et ad chorum (corum *L?* Choum *al*). [13]aspirante autem austro aestimantes propositum se tenere, cum sustulissent de Asson (Asso *L*), legebant Cretam (Craetam *F*). [14]non post multum autem misit se (m. se *om F*) contra ipsam uentus typhonicus qui uocatur euroaquilo: [15]cumque arrepta (adr., abr. *F*) esset nauis et non posset conari in uentum, data naue (naui) flatibus ferebamur. [16]insulam autem quandam decurrentes, quae uocatur Cauda (Caudam

τῆς σκάφης, [17]ἣν ἄραντες βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον, φοβούμενοί τε μὴ εἰς τὴν σύρτιν ἐκπέσωσιν, χαλάσαντες τὸ σκεῦος οὕτως ἐφέροντο. [18]σφοδρῶς δὲ χειμαζομένων ἡμῶν τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο. [19]καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἔρριψαν· [20]μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο ἐλπὶς πᾶσα τοῦ σώζεσθαι ἡμᾶς. [21]πολλῆς τε ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν Ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. [22]καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν πλὴν τοῦ πλοίου. [23]παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ τοῦ θεοῦ οὗ εἰμὶ ἐγώ, ᾧ καὶ λατρεύω, ἄγγελος [24]λέγων Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι, καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. [25]διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελάληταί μοι. [26]εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.

1. *βοηθειαις ABς, βοηθειας C* 3. *δε BCς, τε A* 5. *ερριψαν ABC, ἐῤῥίψαμεν ς* 6. *ουχ A* 7. *ελπις πασα AB, πασα ελπις Cς* *τε ABC, δὲ ς* 8. *τοτε BCς, om A* *εμμεσω A* 12. *ταυτη τη νυκτι ABC, τῇ νυκτὶ ταύτῃ ἄγγελος ς* 13. *εγω A et corr C, om Bς et pr C?* *ἄγγελος om ς* 14. *καισαρει σε δε C* 16. *καθο ον C* 17. *δει ημας ACς, ημας δει B*

F al), potuimus uix obtinere (opt.) scapham (scafam *F*), [17]qua sublata adiutoriis utebantur, accingentes nauem, timentes ne in syrtim (syrtem *L*) inciderent, summisso (subm.) uase (base *F*) sic ferebantur. [18]ualide (-dae *pr F*) autem nobis tempestate iactatis sequenti die iactum fecerunt. [19]et tertia die suis manibus armamenta nauis proiecerunt: [20]neque sole autem (*om al*) neque sideribus apparentibus per plures dies et tempestate non exigua imminente (inm. *F*) iam ablata erat spes omnis salutis nostrae. [21]et cum multa ieiunatio fuisset, tunc stans Paulus in medio eorum dixit Oportebat (-tuerat) quidem, o uiri, audito me non tollere (egredi *L al*) a Creta (Creata *pr F*) lucrique facere iniuriam hanc et iacturam. [22]et nunc suadeo uobis bono animo esse: amissio enim nullius animae erit ex uobis praeter quam nauis. [23]adstitit (adstetit) enim (*om al*) mihi (*om F*) hac nocte angelus dei cuius sum ego et cui deseruio, [24]dicens Ne timeas, Paule: Caesari te oportet assistere (ads. *pr F*), et ecce donauit tibi deus omnes qui nauigant tecum. [25]propter quod bono animo estote, uiri: credo enim deo [meo *F al*] quia sic erit quem admodum dictum est mihi. [26]in insulam autem quandam (quamd.) oportet nos

[27]Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν, [28]καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι, βραχὺ δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε, [29]φοβούμενοί τε μήπω κατὰ τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας ηὔχοντο ἡμέραν γενέσθαι. [30]τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν προφάσει ὡς ἐκ πρῴρης ἀγκύρας μελλόντων ἐκτείνειν, [31]εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. [32]τότε ἀπέκοψαν οἱ στρατιῶται τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. [33]ἄχρι δὲ οὗ ἡμέρα ἤμελλεν γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε μηθὲν προσλαμβανόμενοι. [34]διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐθενὸς γὰρ

1. εγενετο *BC*ς, επεγενετο *A*υ 2. προσαγειν *AC*ς, προσανεχειν *B* 3 et 4. οργυας *B* 4. πάλιν] βαλιν *A* ευρον *AB*ς, ευρομεν *C* 5. τε *AB*ς, δε *C* μηπω *AB*, μηπου *B*?*C*, μήπως ς κατα *ABC*, εἰς ς εκπεσωμεν *ABC*, ἐκπέσωσιν ς 6. ευχοντο *C* 7. φυγειν *BC*ς, εκφυγειν *A* 8. πρωρης *A*, πρωρας *BC*ς αγκυρας μελλοντων *ABC*, μελλόντων ἀγκύρας ς 11. απεκοψαν οι στρατιωται *ABC*, οἱ στρ. ἀπέκ. ς 12. ημερα ημελλεν (ημελλε *B*, εμελλεν *A*) *ABC*, ἔμελλεν ἡμέρα ς 14. μηθεν *AB*, μηδεν *C*ς 15. προσλαμβανομενοι *A*, προσλαβομενοι *BC*ς μεταλαβειν *ABC*, προσλαβεῖν ς 16. προς *AC*ς, απο *B* υμετερας *BC*ς, ημετερας *A* ουθενος *A*, ουδενος *BC*ς

deuenire. (73) [27]Sed postea quam quarta decima nox superuenit nauigantibus nobis in Adria, circa mediam noctem suspicabantur nautae apparere sibi aliquam regionem; [28]qui [et] submittentes (summ. *L*) inuenerunt passus uiginti, et pusillum inde separati inuenerunt passus quindecim: [29]timentes autem ne in aspera loca incideremus, de puppi (puppe) mittentes anchoras quattuor optabant diem fieri. [30]nautis uero quaerentibus fugere de naui, cum misissent scapham (scafam *F*) in mare sub obtentu quasi inciperent a prora (a pr. inc. *L al*) anchoras extendere, [31]dixit Paulus centurioni et militibus Nisi hi in naui manserint, uos salui fieri non potestis. [32]tunc absciderunt milites funes scaphae, et passi sunt eam excidere (abscedere). [33]et cum lux inciperet fieri, rogabat Paulus omnes sumere cibum, dicens Quarta decima hodie die (die h.) expectantes ieiuni permanetis, nihil accipientes: [34]propter quod rogo uos accipere cibum pro salute uestra,

ὑμῶν θρὶξ ἀπὸ τῆς κεφαλῆς ἀπολεῖται. [35]εἴπας δὲ ταῦτα καὶ λαβὼν ἄρτον εὐχαρίστησεν τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν. [36]εὔθυμοι δὲ γενόμενοι πάντες καὶ αὐτοὶ προσελάβοντο τροφῆς. [37]ἤμεθα δὲ αἱ πᾶσαι ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι ἑβδομήκοντα ἕξ. [38]κορεσθέντες δὲ τροφῆς ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. [39]ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύοντο, εἰ δύναιντο, ἐξῶσαι τὸ πλοῖον. [40]καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμωνα τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. [41]περιπεσόντες δὲ εἰς τόπον διθάλασσον ἐπέκειλαν τὴν ναῦν· καὶ ἡ μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας. [42]τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν, μή τις ἐκκολυμβήσας διαφύγῃ· [43]ὁ δὲ ἑκατοντάρχης, βουλόμενος διασῶσαι τὸν Παῦλον,

1. *απο ABC, ἐκ ς* *απολειται ABC, πεσεῖται ς* *ειπας ABC, εἰπὼν ς* 3. *προσελαβοντο BCς, προσελαβον A* 4. *ημεθα AB, ημεν Cς* *αι* (om *A*) *πασαι ψυχαι ABC*, post *πλοίῳ ς* *διακοσιαι ACς, ως B* 5. *ἑξ BCς, πεντε A* 7. *επεγινωσκον ACς, εγινωσκον B* 8. *εις BCς, προς A* *εβουλευοντο BC, εβουλοντο A, ἐβουλεύσαντο ς* *δυναιντο ἐξωσαι ABς, δυνατον εκσωσαι C* 10. *αρτεμωνα ABC, ἀρτέμονα ς* *πνεουσῃ A* 12. *επεκειλαν ABC, εποκειλαν ς* et corr *B* *πρωρα BCς, πρωτη A* *εμεινεν BCς, εμενεν Av* 13. *βιας AB*, add *των κυματων Cς* *δὲ* om pr *C?* 14. *απεκτεινωσιν C* 15. *διαφυγῃ ABC, διαφύγοι ς* *εκατονταρχης ABC, -χος ς* *διασωσαι τον παυλον BCς, τον παυλον διασωσαι A*

quia nullius uestrum capillus de capite peribit. [35]et cum haec dixisset, sumens panem gratias egit deo (om *al*) in conspectu omnium, et cum fregisset, coepit manducare. [36]animaequiores autem facti (f. a. *F*) omnes et ipsi adsumpserunt (ass., adsums. *F*) cibum. [37]eramus uero (autem) uniuersae animae in naui (naue) ducentae septuaginta sex (CCLXXVI *F*). [38]et satiati cibo adleuiabant (adleuabant *F al*) nauem, iactantes triticum in mare. [39]cum autem dies factus esset, terram non agnoscebant, sinum uero quendam considerabant habentem litus, in quem cogitabant, si possent, eicere (eiecere) nauem. [40]et cum anchoras abstulissent (sust.), committebant se mari, simul laxantes iuncturas (strict. *F*) gubernaculorum, et leuato artemone (arthem. *pr F*) secundum aurae (aure *pr F*) flatum (f. a. *L al*) tendebant ad litus. [41]et cum incidissemus in locum bithalassum, inpegerunt nauem: et prora quidem fixa manebat inmobilis (imm. *F*), puppis uero soluebatur a ui maris. [42]militum autem consilium fuit ut custodias occiderent, nequis cum enatasset effugeret: [43]centurio autem,

ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέν τε τοὺς δυναμένους κολυμβᾶν ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, 44*καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.* 1*καὶ διασωθέντες τότε ἐπέγνωμεν ὅτι Μελίτη ἡ νῆσος καλεῖται,* 2*οἵ τε βάρβαροι παρεῖχαν οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· ἅψαντες γὰρ πυρὰν προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος.* 3*συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων τι πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν, ἔχιδνα ἀπὸ τῆς θέρμης ἐξελθοῦσα καθῆψε τῆς χειρὸς αὐτοῦ.* 4*ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, πρὸς ἀλλήλους ἔλεγον Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν.* 5*ὁ μὲν οὖν ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν·* 6*οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν*

1. *τε ABς, δε C* 2. *κολυμβαν ACς, εκκολυμβαν B* *αποριψαντας C* 5. *επεγνωμεν ABC, ἐπέγνωσαν ς* *τε ABC, δὲ ς* 6. *παρειχαν AB, παρειχον Cς* *τοιχουσαν A* *αψαντες ABC, ἀνάψαντες ς* 7. *παντας BCς, om A* 8. *τι ABC, om ς* 9. *επιθεντος BCς, add του παυλου A* *απο ABC, ἐκ ς* 10. *καθηψε ABς, καθηψατο C* *ως δε ειδον* (*ιδον A, ειδαν B*) *οι AB Cς, ἰδόντες δὲ Orig 2,27ᵃ* 11. *προς αλληλους ελεγον ABC, ἔλεγον πρὸς ἀλλήλους ς* 13. *αποτιναξας Bς, αποτιναξαμενος A* 14. 15. *μελλειν πιμπρασθαι Bς, μελλων πιπρασθαι A*

uolens seruare (aut) Paulum, prohibuit fieri, iussitque eos qui possent natare mittere se [in mare *L*] primos et euadere et ad terram exire, 44et ceteros alios in tabulis ferebant, quosdam super ea quae de naui essent (erant). et sic factum est ut omnes animae euaderent ad terram. 1et cum euasissemus, tunc cognouimus quia Militene (Miletena) insula uocatur (uocabatur). barbari uero praestabant non modicam humanitatem nobis: 2accensa enim pyra (pruna *L*) reficiebant nos omnes propter imbrem qui imminebat (imm. *F*), et frigus. 3cum congregasset autem Paulus sarmentorum aliquantam (*om L*) multitudinem et inposuisset (imp. *F*) super ignem, uipera a calore cum processisset, inuasit manum eius. 4ut uero uiderunt barbari pendentem bestiam de (in *F al*) manu eius, ad inuicem dicebant Vtique homicida est homo hic (iste *L*), qui cum euaserit de mari, ultio [eum *L*] non sinit (dimisit *L*) [eum] uiuere. 5et ille quidem excutiens bestiam in ignem nihil mali passus est: 6at illi existimabant (extim. *F*, exestim.) eum (*om al*) in tumorem conuertendum et subito casurum

προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον αὐτὸν εἶναι θεόν. [7]Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. [8]ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίῳ συνεχόμενον κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. [9]τούτου δὲ γενομένου καὶ οἱ λοιποὶ οἱ ἐν τῇ νήσῳ ἔχοντες ἀσθενείας προσήρχοντο καὶ ἐθεραπεύοντο, [10]οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὰς χρείας.

[11]Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις. [12]καὶ καταχθέντες εἰς Συρακούσας ἐπεμείναμεν ἡμέραις τρισίν, [13]ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον. καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, [14]οὗ εὑρόντες ἀδελφοὺς παρεκλήθημεν παρ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά, καὶ οὕτως

1. *προσδοκωντων* **Bς**, *προσδοκουντων* **A** *μηδεν* **Aς**, *μηθεν* **B** 2. *μεταβαλλομενοι* **Bς**, *μεταβαλομενοι* **A** *ελεγαν* **B** *αυτον ειναι θεον* **B**, *ειναι αυτον θεον* **A**, *Θεὸν αὐτὸν εἶναι* **ς** 4. *τρεις ημερας* **Aς**, *ημερας τρεις* **B** 5. *δυσεντεριω* **AB**, *δυσεντερίᾳ* **ς** 7. *δε* **AB**, *οὖν* **ς** *και* **Aς**, *om* **B** 8. *εν τη νησω* **AB**, *post ἀσθενείας* **ς** *προσηρχοντο* **Aς**, *προηρχον* **B** 10. *τα* **Bς**, *τας* **A** *τας χρειας* **AB**, *τὴν χρείαν* **ς** 12. *αλεξανδρηνω* **B** 13. *ημεραις τρισιν* **B**, *ημερας τρεις* **Aς** 15. *πο.τιολους* **A** 16. *παρ* **AB**, *ἐπ'* **ς** *επιμεινα* **A**

et mori. diu autem illis sperantibus et uidentibus nihil mali in eo (eum *L*) fieri, conuertentes se dicebant eum esse deum. [7]in locis autem illis erant praedia principis insulae, nomine Publii (Puplii *L*), qui nos suscipiens triduo benigne exhibuit. [8]contigit autem patrem Publii (Puplii *L*) febribus et dysenteria (dysint. *F al*) uexatum iacere; ad quem Paulus intrauit, et cum orasset et inposuisset ei manus, saluauit eum. [9]quo facto et omnes qui in [ipsa *L*] insula habebant infirmitates accedebant et curabantur; [10]qui etiam multis honoribus nos honorauerunt et nauigantibus inposuerunt quae necessaria erant. (74) [11]Post menses autem tres nauigauimus in naui Alexandrina (nauem -nam *F al*) quae in insula (-lam) hiemauerat, cui erat insigne Castorum (castror. *F al et corr L*). [12]et cum uenissemus Syracusas (-sam *F al*), mansimus ibi triduo. [13]inde circum legentes deuenimus Regium. et post unum diem (d. u.) flante austro secunda (-do *L*) die uenimus Puteolos (Puteolis *L*), [14]ubi inuentis fratribus rogati su-

ἤλθαμεν εἰς Ῥώμην. [15]κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν ἦλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ Τριῶν ταβερνῶν, οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ θεῷ ἔλαβε θάρσος.
[16]Ὅτε δὲ εἰσήλθομεν εἰς Ῥώμην, ἐπετράπη τῷ Παύλῳ μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. [17]ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους· συνελθόντων δὲ αὐτῶν ἔλεγεν πρὸς αὐτοὺς «Ἐγώ, ἄνδρες ἀδελφοί, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων, [18]οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί· [19]ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορεῖν. [20]διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι.» [21]οἱ δὲ πρὸς αὐτὸν εἶπαν «Ἡμεῖς οὔτε γράμματα ἐδεξάμεθα περὶ σοῦ ἀπὸ τῆς Ἰουδαίας, οὔτε παρα-

1. ηλθαμεν εις ρωμην *A*, εις την ρωμην ηλθαμεν (ἤλθομεν ς) *B*ς οι *A*ς, om *B* 2. ηλθον *A*, ηλθαν *B*, ἐξῆλθον ς αχρις *B*ς, αχρι *A* 3. ελαβε *A* 4. εισηλθομεν *B*, εισηλθαμεν *A*, ἤλθομεν ς ρωμην *AB*, add ὁ ἑκατόνταρχος παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ ς επετραπη τω παυλω *AB*, τῷ δὲ Παύλῳ ἐπετράπη ς 5. καθ αυτον *B*? 6. συνκαλεσασθαι *A* αυτον *AB*, τὸν Παῦλον ς 7. εγω *AB*, post ἀδελφοὶ ς 8. εθεσι *A* 12. ηνηγκασθην *A* 13. κατηγορειν *AB*, κατηγορῆσαι ς 14. ενεκεν *B*ς, εινεκεν *A* 15. ειπαν *AB*, εἶπον ς 16. εδεξαμεθα περι σου *A*, περι σου εδεξαμεθα *B*ς

mus manere apud eos dies septem, et sic uenimus Romam. [15]et inde cum audissent fratres, occurrerunt nobis usque ad Appii (Appi) forum et Tribus tabernis; quos cum uidisset Paulus, gratias agens deo accepit fiduciam. [16]cum uenissemus autem Romam, permissum est Paulo manere sibimet (sibi *L*) cum custodiente se (*om al*) milite. [17]post tertium autem diem conuocauit primos Iudaeorum: cumque conuenissent, dicebat eis Ego, uiri fratres, nihil aduersus plebem (legem) faciens aut morem paternum, uinctus ab Hierosolymis (Hierus.) traditus sum in manus Romanorum; [18]qui cum interrogationem de me habuissent, uoluerunt me dimittere eo quod nulla causa esset mortis in me: [19]contra dicentibus autem Iudaeis coactus sum appellare Caesarem, non qaasi gentem meam habens aliquid accusare. [20]propter hanc igitur causam rogaui uos uidere et alloqui (adl. *F*): propter spem enim Israhel catena hac circum datus sum. [21]at illi dixerunt ad eum Nos neque litteras accepimus (accip.) de te a Iudaea,

*γενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέν τι περὶ σοῦ
πονηρόν. [22]ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς· περὶ μὲν γὰρ
τῆς αἱρέσεως ταύτης γνωστὸν ἡμῖν ἐστὶν ὅτι πανταχοῦ ἀντιλέγε-
ται.» [23]ταξάμενοι δὲ αὐτῷ ἡμέραν ἦλθον πρὸς αὐτὸν εἰς τὴν ξενίαν
πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ θεοῦ,
πείθων τε αὐτοὺς περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωυσέως
καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας. [24]καὶ οἱ μὲν ἐπείθοντο
τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν· [25]ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλή-
λους ἀπελύοντο εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν, ὅτι καλῶς τὸ πνεῦμα
τὸ ἅγιον ἐλάλησεν διὰ Ἠσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας
ὑμῶν [26]λέγον Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπόν Ἀκοῇ
ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ
ἴδητε· [27]ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν
βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε
ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ
συνῶσιν καὶ ἐπιστρέψωσιν καὶ ἰάσωμαι αὐτούς. [28]γνωστὸν οὖν
ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ θεοῦ·*

3. *ημιν εστιν AB, ἐστιν ἡμῖν ς* 4. *ηλθον B, ηλθαν A, ἧκον ς* 5. *διαμαρτυρομενος Bς, παρατειθεμενος A* 6. *περι AB, τὰ περὶ ς μωυσεως B, μωσεως Aς* 10. *δια ησαιου του προφητου Bς, post υμων A* 11. *υμων AB, ἡμῶν ς λεγον Aς, λεγων B ειπον ABE, εἰπέ ς* aure *e* 12. *ακουσετε Beς, ακουσητε AE βλεψετε Beς, βλεψητε AE* 13. *ωσειν E, ωσιν αυτων A* 16. *επιστρεψωσιν Beς, επιστρεψουσιν AE ιασωμαι BEeς, ιασομαι A* 17. *εστω υμιν AEeς, υμιν εστω B τουτο ABe, om Eς*

neque adueniens aliquis fratrum nuntiauit (adn. *L*) aut locutus est
quid de te malum. [22]rogamus autem a te audire quae sentis: nam
de secta hac notum est nobis quia ubique ei contra dicitur. [23]cum
constituissent autem illi diem, uenerunt ad eum in hospitium plures
(plurimi), quibus exponebat testificans regnum dei suadensque eis
(eos *L*) de Iesu ex (et *L*) lege Moysi (Mosi *FL*) et prophetis, a
mane usque ad uesperam. [24]et quidam credebant his quae diceban-
tur, quidam uero non credebant: [25]cumque inuicem non essent con-
sentientes, discedebant dicente Paulo unum uerbum, quia bene spi-
ritus sanctus locutus (loqu.) est per Esaiam prophetam ad patres
nostros [26]dicens Vade ad populum istum et dic [ad eos *om L al*]
Aure audietis et non intellegetis, et uidentes uidebitis (uidet. *pr L*) et
non perspicietis (spersp. *F*, prosp. *al*, uidebitis *L*): [27]incrassatum est
enim cor populi huius, et auribus grauiter audierunt, oculos suos con-
praesserunt (compress.), ne forte uideant oculis et auribus audiant et
corde intellegant et conuertantur (-tant se) et sanem illos. [28]notum
ergo sit uobis quoniam gentibus missum est hoc salutare dei: ipsi et

αὐτοὶ καὶ ἀκούσονται. 30*Ἔμεινεν δὲ διετίαν ὅλην ἐν ἰδίῳ μισθώ-
ματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν,*
31*κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ
κυρίου Ἰησοῦ χριστοῦ μετὰ πάσης παρρησίας ἀκωλύτως.*

1. *ακουσονται ABE, add* 29*Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ς   εμεινεν AE eς, ενεμεινε B   δε ABEe, add ὁ Παῦλος ς*   4. *παρρησια E   πραξεις αποστολων B, πραξεις των αγιων αποστολων E et rec A*

(et i.) audient. 29[et cum haec dixisset, exierunt ab eo Iudaei multam habentes inter se quaestionem. *Vindobonensis*] 30mansit autem biennio toto in suo conducto (-ctu *L*), et suscipiebat omnes qui ingrediebantur (intro ibant) ad eum, 31praedicans regnum dei et docens quae sunt de domino Iesu Christo cum omni fiducia sine prohibitione (neminem prohibentem (-ne -te *V*) Amen *F*).

Exp. actus (liber actuum) apostolorum. [Inc. epistulae canonice *F*]. (*in L* incipit liber actuum apostolorum *post euangelia, sequuntur Paulinae, tum catholicae et apocalypsis. in F post euangelia Paulinae, tum actus apostolorum et catholicae, postremo apocalypsis. cum hoc consentit Hieronymus* 2,278[cd].)

ΚΑΘΟΛΙΚΑΙ.

ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ.

Ἰάκωβος θεοῦ καὶ κυρίου Ἰησοῦ χριστοῦ δοῦλος ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν. [2]Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, [3]γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν. [4]ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. [5]εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. [6]αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. [7]μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήμψεταί τι παρὰ τοῦ κυρίου, [8]ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. [9]καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ

ιακωβου επιστολη B, Ἰακώβου τοῦ ἀποστόλου ἐπιστολὴ καθολική ς 4. *πυκιλοις A* *της πιστεως ACς et rec uncinata B* 7. *του διδοντος θεου BCς, του θεου του διδοντος A* 9. *εοικεν κλυδωνι] sic corr C* 10. *ο ACς, om B* 10. 11. *οτι . . . παρα] sic corr C* 11. *λημψεται AC, λήψ. ς* *κυριου] sic corr A, θεου pr A?* 12. *δε ο ACς, δε B*

[EPISTVLAE CATHOLICAE *L*].

EPISTVLA SANCTI IACOBI [APOST.].

Iacobus dei et domini nostri Iesu Christi seruus duodecim tribubus (tribus *pr F al*) quae sunt in dispersione salutem. [2]omne gaudium existimate, fratres mei, cum in temptationibus uariis (-nes uarias) incideritis, [3]scientes quod probatio fidei uestrae patientiam (-tia) operatur. [4]patientia (-am *pr F*) [autem *om L*] opus perfectum habeat, ut sitis perfecti et integri, in nullo deficientes. [5]siquis autem uestrum indiget sapientia (-am *L al*), postulet a deo qui dat omnibus affluenter (afl. *F*) et non inproperat, et dabitur ei. [6]postulet autem in fide, nihil haesitans: qui enim (autem *F al*) haesitat, similis est fluctui maris qui (tempestati m. quae) a uento mouetur et circum fertur. [7]non ergo aestimet homo ille quod accipiat (-iet) aliquid a domino, [8]uir duplici (duplex *L?*) animo, inconstans [est *om F*] in omnibus uiis suis. [9]glorietur autem frater humilis in exaltatione (exult.) sua,

ὕψει αὐτοῦ, [10]ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. [11]ἀνέτειλεν γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι καὶ ἐξήρανεν τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτως καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται. [12]μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήμψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν. [13]μηδεὶς πειραζόμενος λεγέτω ὅτι ἀπὸ θεοῦ πειράζομαι. ὁ γὰρ θεὸς ἀπείραστός ἐστιν κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα· [14]ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος, [15]εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.

[16]Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί. [17]πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστιν καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα. [18]βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

4. *αυτου ACς*, om *B* *ουτως AC*, *οὕτω ς* 5. *ποριαις A* *αυτου*] sic corr *C*, *εαυτου pr C*? *ανηρ BCς*, *ανθρωπος A* *υπομενει ABς*, *υπομενει.* (*una littera erasa*) *C* 6. *λημψεται A*, *ληψεται Cς* 7. *επηγγειλατο AB*, *add ὁ* (*om C*) *κυριος Cς* 8. *απο ABC*, *ἀπὸ τοῦ ς* *Orig* 3,124^e 10. *η ABς*, *om C* 14. *καταβαινον BCς*, *καταβαινων A* 15. non est demutatio *Hilar* 813 *αποσκιασμα ACυς*, *αποσκιασματος B* 17. *αυτου ABς*, *εαυτου C*

[10]diues autem in humilitate sua, quoniam sicut flos faeni (foeni) transibit (transiuit). [11]exortus est enim sol cum ardore et arefecit faenum, et flos eius decidit et decor uultus eius deperiit (-iet): ita et diues in itineribus suis marcescet (marcisc., -scit *F al*). (2) [12]Beatus uir qui suffert temptationem, quoniam (quia *L al*) cum probatus fuerit accipiet coronam uitae, quam repromisit deus diligentibus se. [13]nemo, cum temptatur, dicat quoniam (quia *F al*) a deo temptatur (a. d. t. *om F*). deus enim intemptator malorum est, ipse autem neminem temptat: [14]unus quisque uero temptatur a concupiscentia sua abstractus et inlectus, [15]dein (dehinc *L*) concupiscentia [sua] cum conceperit parit peccatum, peccatum uero cum consummatum fuerit generat mortem. (3) [16]Nolite itaque errare, fratres (FF *F*) mei dilectissimi. [17]omne datum optimum et omne donum perfectum de sursum est descendens a patre luminum, apud quem non est transmutatio nec uicissitudinis obumbratio. [18]uoluntarie (-iae *L*) genuit nos uerbo ueritatis, ut simus initium aliquod (al. in. *L*) creaturae

[19]Ἴστε, ἀδελφοί μου ἀγαπητοί. ἔστω δὲ πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· [20]ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐκ ἐργάζεται. [21]διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. [22]γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ ἀκροαταὶ μόνον παραλογιζόμενοι ἑαυτούς. [23]ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶν καὶ οὐ ποιητής, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ· [24]κατενόησεν γὰρ ἑαυτὸν καὶ ἀπελήλυθεν καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν. [25]ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ παραμείνας, οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται. [26]εἰ δέ τις δοκεῖ θρῆσκος εἶναι μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ ἀλλὰ ἀπατῶν καρδίαν ἑαυτοῦ, τούτου μάταιος ἡ θρησκεία. [27]θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη ἐστίν, ἐπι-

1. ιστε *BCv*, ιστε δε *A*, Ὥστε ς   εστω δε *BCv*, ἔστω ς, και εστω. (σ *vel* ε *erasa*) *A*   3. ουκ εργαζεται (-τε *A*) *AB*, ου κατεργαζεται *Cς*   4. περισσειαν *BCς*, περισσευμα *A*   εν πραυτι *pr A*   6. ακροαται μονον *Bv*, μονον ακροαται *ACς*   7. οτι ει *BCvς*, η *A*   11. παραμεινας *ABCvς*, *add* οὗτος ς   12. δε *Cv*, *om ABς*   13. ειναι *ABCv*, *add* ἐν ὑμῖν ς   χαλιναγωγων *Aς et corr C*, χαλινιων *B*   αλλα *AC*, αλλ *Bς*   14. εαυτου *BC*, αυτου *Aς*   θρησκεια *alterum BCvς*, *add* γαρ *A*   15. και πατρι *BCς*, και τω πατρι *C*

eius. [19]scitis, fratres mei dilecti (-tissimi). sit autem omnis homo uelox ad audiendum, tardus autem ad loquendum et tardus ad iram: [20]ira enim uiri iustitiam dei non operatur. (4) [21]Propter quod abicientes omnem inmunditiam et abundantiam (hab.) malitiae in mansuetudine suscipite (-cipe) insitum uerbum [dei *L*] quod potest saluare animas uestras. [22]estote autem factores uerbi, et non auditores tantum fallentes uosmet ipsos. [23]quia siquis auditor est uerbi et non factor, hic conparabitur (comp. *V*) uiro consideranti uultum natiuitatis suae in speculo: [24]considerauit enim (autem *F*) se et abiit et statim oblitus est qualis fuerit. [25]qui autem perspexerit in lege perfecta libertatis et permanserit, non auditor obliuiosus factus (*om al*), sed factor operis, hic beatus in facto (factu) suo erit. (5) [26]Siquis autem putat se religiosum esse [et] non refrenans linguam suam, sed seducens cor suum, huius uana est (*om al*) religio. [27]religio [autem *L*] munda et inmaculata apud deum (dominum) et patrem haec est,

σκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

[1]*Ἀδελφοί μου, μὴ ἐν προσωπολημψίαις ἔχετε τὴν πίστιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ τῆς δόξης.* [2]*ἐὰν γὰρ εἰσέλθῃ εἰς συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι,* [3]*καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ εἴπητε Σὺ κάθου ὧδε καλῶς, καὶ τῷ πτωχῷ εἴπητε Σὺ στῆθι ἐκεῖ ἢ κάθου ὑπὸ τὸ ὑποπόδιόν μου,* [4]*οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν;*

[5]*Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί. οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τῷ κόσμῳ πλουσίους ἐν πίστει καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν;* [6]*ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. οὐχὶ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια;* [7]*οὐκ αὐτοὶ βλασφημοῦσιν τὸ καλὸν*

2. *εαυτον BCς, σεαυτον A* *απο ABυς, εκ C* 3. *προσωποληιμψιαις AC, προσωποληψίαις ς* 4. *εισηλθη A?* *εις BC, εις την Aς* 6. *και επιβλεψητε Aυς, επιβλεψητε δε BC* 7. *ειπητε ABCυ, add αὐτῷ ς* 8. *εκει η καθου Aυ et add ὧδε ς, εκει και καθου C, η καθου εκει B* 9. *μου ου C et corr B, μου· Καὶ οὐ ς, μου pr B, των ποδων σου* (meorum) *ου Aυ* 12. *τω κοσμω B, του κοσμου Cς et corr A, add τούτου ς* *βασιλειας BCυς, επαγγελειας A* 14. *ουχι AC, ουχ Bς* *καταδυστευουσιν C* *υμων BCς, υμας A* 15. *κρητηρια A* *ουκ BCυς, και A*

uisitare pupillos et uiduas in tribulatione eorum, [et *om F*] inmaculatum se custodire ab hoc saeculo. (6) [1]Fratres mei, nolite in personarum acceptione (-nem *F al*) habere fidem domini nostri Iesu Christi gloriae. [2]etenim si intro ierit in conuentu (conspectu) uestro uir aureum anulum (an. aur.) habens in ueste candida, intro ierit autem et pauper in sordido habitu, [3]et intendatis [in *L al*] eum qui indutus est ueste praeclara et dixeritis Tu sede hic bene, pauperi autem dicatis Tu sta (ista *pr F*) illic aut sede sub scabillo (scabello, -llum) pedum meorum, [4]nonne iudicatis apud uosmet ipsos et facti estis iudices cogitationum iniquarum? [5]audite (audistis), fratres mei dilectissimi. nonne deus elegit pauperes in hoc mundo diuites in fide et heredes regni quod repromisit (prom. *L*) deus diligentibus se? [6]uos autem exhonorastis pauperem. nonne diuites per potentiam opprimunt uos, et ipsi trahunt (adtr. *L*) uos ad iudicia? [7]nonne ipsi blasphemant bonum nomen quod inuocatum est super

ὄνομα τὸ ἐπικληθὲν ἐφʼ ὑμᾶς; 8εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν
κατὰ τὴν γραφήν, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν, καλῶς
ποιεῖτε· 9εἰ δὲ προσωπολημπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε ἐλεγχόμενοι
ὑπὸ τοῦ νόμου ὡς παραβάται. 10ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ,
πταίσῃ δὲ ἐν ἑνί, γέγονεν πάντων ἔνοχος. 11ὁ γὰρ εἰπὼν Μὴ μοι-
χεύσῃς εἶπεν καὶ Μὴ φονεύσῃς· εἰ δὲ οὐ μοιχεύεις, φονεύεις δέ,
γέγονας παραβάτης νόμου. 12οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε, ὡς
διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι· 13ἡ γὰρ κρίσις ἀνέλεος
τῷ μὴ ποιήσαντι ἔλεος. κατακαυχᾶται ἔλεος κρίσεως.
14Τί ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν τις λέγῃ ἔχειν, ἔργα δὲ
μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; 15ἐὰν δὲ ἀδελφὸς ἢ
ἀδελφὴ γυμνοὶ ὑπάρχωσιν καὶ λειπόμενοι ὦσιν τῆς ἐφημέρου τρο-

1. *το επικεκληθεν C* *τελειτε βασιλεικον ABς, βασιλικον τελειτε C*
2. *αγαπησεις . . . σου* bis *pr A* *σεαυτον ACς, σαυτον B*
3. *προσώπολημπτειτε AC, -ληπτ. ς* 4. *Orig* 2,798[a] *οστις ABς, ος C* *ολον τον νομον ABυς, τον νομον ολον C* *τηρηση BCυ, τηρήσει ς, πληρωσει A* 5. *πταιση ABC, πταίσει ς* *γενονεν C* *ειπων BCς, ειπας A* *μοιχευσης ABυς, φονευσης C*
6. *φονευσης ABς, μοιχευσης C* *μοιχευεις ABC, μοιχεύσεις υς φονευεις AC, φονευσεις Bυς* 7. *γεγονας BCς, εγενου A* *παραβατης BCυς, αποστατης A* *ουτως AC, οὕτω ς* 8. *ανελεος BC, αναιλεος A, ἀνίλεως ς* 9. *κατακαυχατε B, κατακαυχασθε corr C, κατακαυχασθω δε A, καὶ κατακαυχᾶται ς* *ελεον κρισεως C* 10. *τι BC, τι το Aς* *πιστιν τις λεγη ACυ, πιστιν λεγη τις Bς* 11. *ἔχῃ] ερχη A?* *εαν δε ACυς, εαν B*
12. *και BCυς, η A* *ωσιν Aς, om BC*

uos? (7) 8Si tamen legem (lege *pr F*) perficitis (perfecistis) regalem secundum scribturas (script. *V al*), Diliges (-gis *F al*) proximum tuum sicut te ipsum, bene facitis (facis *F al*): 9si autem personas accipitis (accep. *pr F*), peccatum operamini, redarguti a lege quasi transgressores. 10quicumque autem totam legem seruauerit, offendat (-dit) autem in uno, factus est omnium reus. 11qui enim dixit Non moechaberis (moecab. *F*, -aueris *pr F*), dixit et Non occides: quod si non moechaberis (moecab. *F*, -aueris *pr F*), occides [.occidens] autem, factus es transgressor legis. 12sic loquimini et sic facite, sicut per legem libertatis incipientes iudicari: 13iudicium enim sine misericordia illi qui non fecit (facit) misericordiam, super exaltat (exult. *F*, -tate) autem misericordia (-iam) iudicio. (8) 14Quid proderit (prodest), fratres mei, si fidem quis dicat se habere, opera autem non habeat? numquid poterit fides saluare eum? 15si autem frater aut soror nudi sint (sunt) et indigent (-eant *L*) uictu cotidiano (cott. *pr F al*),

φῆς, [16]εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί ὄφελος; [17]οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔχῃ ἔργα, νεκρά ἐστιν καθ' ἑαυτήν. [18]ἀλλ' ἐρεῖ τις Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου χωρὶς τῶν ἔργων, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. [19]σὺ πιστεύεις ὅτι εἷς ἐστὶν ὁ θεός. καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσιν καὶ φρίσσουσιν. [20]θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων ἀργή ἐστιν; [21]Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; [22]βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη; [23]καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος θεοῦ ἐκλήθη. [24]ὁρᾶτε ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον; [25]ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑπο-

1. ειπη δε BCυς, και ειπη A υπαγετε] sic corr C, υπαγε pr C? 3. οφελος BC, το οφελος Aς ουτως AC, οὕτω ς εχη εργα BCυ et corr A, ἔργα ἔχῃ ς 4. αλλ BCς, αλλα A πιστιν BC υς, πιστις A 5. χωρις ABCυ, ἐκ ς εργων ABυ, add σου Cς δειξω σοι ACυς, σοι δειξω B 6. μου alterum Aυς, om BC εις εστιν ο θεος Aυ, εις (add ο C) θεος εστιν BC, ὁ Θεὸς εἷς ἐστι ς χωρεις A 8. καινε A αργη BCυ, νεκρα Aς 10. συνεργει A 14. ορατε ABCυ, add τοίνυν ς 15. ομοιως ABυς, ουτως C δε ABυς, om Cυ

[16]dicat autem aliquis de uobis illis Ite in pace, calefacimini (-ciam. *L al*, -ciem.) et saturamini (-rem.), [et] non dederitis (-ris) autem eis quae necessaria sunt (sint) corporis (corpori *F al*), quid proderit? [17]sic et fides, si non habeat (habet *F*) opera, mortua est in semet ipsa. (9) [18]Sed dicet (dicit, dicat) quis (aliquis *L*) Tu fidem habes, et ego opera (-am) habeo. ostende mihi fidem tuam sine operibus, et ego ostendam tibi ex operibus fidem meam. [19]tu credis quoniam unus est deus. bene facis: et daemones credunt et contremescunt (-misc.). [20]uis autem scire, o homo inanis, quoniam fides sine operibus otiosa est? [21]Abraham pater noster nonne ex operibus iustificatus est, offerens Isaac filium super altare? [22]uides quoniam fides cooperabatur operibus illius, [et *om F al*] ex operibus fides consummata est. [23]et suppleta (subpl.) est scribtura (script. *V al*) dicens Credidit [autem] Abraham deo, et reputatum est illi ad iustitiam, et amicus dei appellatus est. [24]uidetis quoniam ex operibus iustificatur homo, et non ex fide tantum? [25]similiter autem (*om al*) et Raab (Rahab) meretrix nonne ex operibus iustificata est, susci-

δεξαμένη τοὺς ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα; 26ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτως καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν.

1Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα λημψόμεθα. 2πολλὰ γὰρ πταίομεν ἅπαντες· εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. 3εἰ δὲ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν εἰς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν· 4ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα καὶ ὑπὸ ἀνέμων σκληρῶν ἐλαυνόμενα μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται· 5οὕτως καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶν καὶ μεγάλα αὐχεῖ. ἰδοὺ ἡλίκον πῦρ ἡλίκην ὕλην ἀνάπτει· 6καὶ ἡ γλῶσσα πῦρ ὁ κόσμος τῆς ἀδικίας ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης.

1. αγγελους *ABς*, κατασκοπους *C* γαρ *ACvς*, δε *Orig* 2,644[c], om *B* 2. ουτως *AC*, οὕτω *ς* 3. των εργων *ABCς*, ἔργων *Orig* 4,318[a] (306[c]) 5. λημψομεθα *AC*, ληψ. *ς* 6. δυνατος *ABς*, add τε *C* 7. ει δε *ABv*, ιδε *C*, Ἰδοὺ *ς* τα στοματα *BCvς*, το στομα *A* 8. εις *BC*, προς *Aς* αυτους ημιν *Bς*, ημιν αυτους *AC* 8. 9. αυτων μεταγομεν *BCvς*, μεταγομεν αυτων *A* 9. πλοια *ACς*, add τα *B* 9. 10. ανεμων σκληρων *BCv*, σκληρων ανεμων *Aς* 10. οπου αν *ACς*, οπου *B* 11. βουληται *ACς*, βουλεται *B* ουτως (-τω *ς*) *BCς*, ωσαυτως *A* 12. μεγαλα αυχει *ACv*, μεγαλαυχει *Bς* ηλικον *BCv et pr corr A*, ολιγον *ς et pr A* 13. η *alterum ABCv*, οὕτως ἡ *ς* 15. τον τροχην *C*

piens nuntios et alia uia eiciens? 26sicut enim corpus sine spiritu mortuum (emort. *F al*) est, ita et fides sine operibus mortua est. (10) 1Nolite plures magistri fieri, fratres mei, scientes quoniam maius (magis) iudicium sumitis. 2in multis enim offendimus (-demus) omnes: siquis in uerbo non offendit, hic perfectus est uir: potest etiam (potens etiam, potes autem) freno circum ducere (c. d. f. *L*) totum corpus. 3si autem equorum frenos in ora mittimus (mittemus) ad consentiendum nobis, et omne corpus illorum circum ferimus: 4ecce et naues, cum magnae sint et a uentis ualidis minentur, circum feruntur [autem *F al*] a (*om pr F*) modico gubernaculo ubi impetus (inp., in pectus *pr F*) dirigentis (dilig. *pr F*) uoluerit: 5ita et lingua modicum quidem membrum est et magna exultat (exaltat *L al*). (11) Ecce quantus ignis quam magnam siluam incendit: 6[ita] et lingua ignis est, uniuersitas iniquitatis. lingua constituitur (-etur) in membris nostris, quae maculat totum corpus et inflammat rotam natiuitatis nostrae, inflammata a (inflammatāa *V*) gehenna. 7omnis enim

[7]πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ· [8]τὴν δὲ γλῶσσαν οὐδεὶς δαμάσαι δύναται ἀνθρώπων. ἀκατάστατον κακόν, μεστὴ ἰοῦ θανατηφόρου. [9]ἐν αὐτῇ εὐλογοῦμεν τὸν κύριον καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν θεοῦ γεγονότας· [10]ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτως γίνεσθαι. [11]μή τι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; [12]μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι ἢ ἄμπελος σῦκα; οὔτε ἁλυκὸν γλυκὺ ποιῆσαι ὕδωρ.

[13]Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν, δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. [14]εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. [15]οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος ψυχικὴ δαιμονιώδης. [16]ὅπου γὰρ ζῆλος

1. τε και *alterum* BCς, και A 2. δαμαζεται και δεδαμασται ABς, δεδαμασται και δαμαζεται C 3. δαμασαι δυναται ανθρωπων BC, δυναται δαμασαι ανθρωπων A, δύν. ἀ. δαμ. ς ακαταστατον AB, ακατασχετον Cς 4. κυριον ABCυ, θεὸν υς 6. γεγονοτας BCς, γεγενημενους A 7. ουτως AC, οὕτω ς 8. πηγὴ\ πη A 9. 10. ουτε αλυκὸν ABC, Οὕτως οὐδεμία πηγὴ ἁλυκὸν καὶ ς 12. δε BCς, δε αρα A 13. εριθειαν A, ἐρίθειαν ς κατακαυχασθε BCς, καυχασθε A 14. αυτη η σοφια ABυς, η σοφια αυτη C 15. αλλ ACς, αλλα B επιγιος A

natura bestiarum et uolucrum et repentium etiam (et item *al*, *om L*) ceterorum (ceterorumque *L*) domantur et domita (domata *L*) sunt a natura humana: [8]linguam (lingua *pr F*) autem nullus hominum domare potest. inquietum malum, plena ueneno mortifero. [9]in ipsa bene dicimus (-cemus) deum (dominum) et patrem, et in ipsa male dicimus homines qui ad similitudinem dei facti sunt: [10]ex ipso ore procedit benedictio et maledictio. non oportet, fratres mei, haec ita fieri. [11]numquid fons de eodem foramine (-ni) emanat dulcem et amaram aquam? [12]numquid potest, fratres mei, ficus uuas (oliuas) facere, aut uitis ficus? sic neque salsa (salsam *pr F*) dulcem potest facere aquam. [13]quis sapiens et disciplinatus inter uos? ostendat ex bona conuersatione operationem (operam *pr F al*, opera *V*) suam (sua *V*) in mansuetudine (-nem *L*) sapientiae. (12) [14]Quod si zelum amarum habetis et contentiones [sunt *om L*] in cordibus uestris, nolite gloriari et mendaces esse aduersus (-sum) ueritatem (carit.). [15]non est [enim *om L al*] *ista sapientia de sursum descendens, sed* terrena animalis diabolica. [16]ubi enim zelus et contentio, ibi [et] in-

καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. 17ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική ἐπιεικὴς εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος ἀνυπόκριτος. 18καρπὸς δὲ δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

1Πόθεν πόλεμοι καὶ πόθεν μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; 2ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε. οὐκ ἔχετε διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς· 3αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. 4μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ θεοῦ ἐστίν; ὃς ἐὰν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ θεοῦ καθίσταται. 5ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει Πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα ὃ κατῴκισεν ἐν ἡμῖν; 6μείζονα δὲ δίδωσιν χάριν· διὸ λέγει Ὁ θεὸς ὑπερηφάνοις

1. *εριθεια ABς, ἐρίθ. ς, ερεις C*   *εκει BCς, add και A*   3. *ευπειθης Bς, ευπιθης A, ευπηθης C*   *καρπων ABς, add εργων C*   *ανυποκριτος ABCv, καὶ ἀν. ς*   4. *δε ABC, δὲ τῆς ς*   *σπειρετε A, σπειραιται C, πειρεται B*   6. *και ποθεν (om vς) μαχαι εν υμιν BCvς, εν υμιν· και ποθεν μαχαι A*   9. *ουκ (ουχ A) εχετε ABv, οὐκ ἔχετε δὲ ς*   11. *δαπανησητε Aς, δαπανησετε B*   *μοιχαλιδες AB, Μοιχοὶ καὶ μοιχαλίδες ς*   12. *ἔχθρα ς*   *.εαν B, αν Aς*   13. *καινως A*   14. *κατωκισεν B, κατωκεισεν A, κατῴκησεν ς*

constantia et omne opus prauum. 17quae autem de sursum est sapientia primum quidem pudica est, deinde pacifica modesta [bonis consentiens *al*] suadibilis [bonis consentiens *F al, om L*], plena misericordia (-iae) et fructibus bonis (boni operis), non (*om F al*) iudicans, sine simulatione. 18fructus autem iustitiae in pace (in p. *om pr F*) seminatur facientibus pacem. (13) 1Vnde bella et lites in uobis (inter uos *L*)? nonne hinc (*om L*), ex concupiscentiis uestris quae militant in membris uestris? 2concupiscitis, et non habetis: occiditis et zelatis, et non potestis adipisci: litigatis et belligeratis. [et *om F al*] non habetis propter quod non postulatis (-astis): 3petitis, et non accipitis (-pietis *L al*), eo quod male petatis, ut in concupiscentiis uestris insumatis. 4adulteri, nescitis quia amicitia huius mundi inimica est dei (deo *F*)? (14) Quicumque ergo uoluerit amicus esse saeculi huius, inimicus dei constituitur (-tuetur). 5aut putatis quia inaniter scriptura (scribt. *pr F*) dicat Ad inuidiam concupiscit spiritus qui habitat (inhab. *F al*) in uobis? 6maiorem autem dat gratiam: propter quod dicit Deus superbis resistit (restitit), hu-

ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν. [7]ὑποτάγητε οὖν τῷ θεῷ, ἀντίστητε δὲ τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν· [8]ἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι. [9]ταλαιπωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω καὶ ἡ χαρὰ εἰς κατήφειαν. [10]ταπεινώθητε ἐνώπιον κυρίου, καὶ ὑψώσει ὑμᾶς.

[11]Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί. ὁ καταλαλῶν ἀδελφοῦ ἢ κρίνων τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου ἀλλὰ κριτής. [12]εἷς ἐστὶν ὁ νομοθέτης καὶ κριτής, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ τίς εἶ, ὁ κρίνων τὸν πλησίον;

[13]Ἄγε νῦν οἱ λέγοντες Σήμερον ἢ αὔριον πορευσόμεθα εἰς τήνδε τὴν πόλιν καὶ ποιήσομεν ἐκεῖ ἐνιαυτὸν καὶ ἐμπορευσόμεθα καὶ κερδήσομεν, [14](οἵτινες οὐκ ἐπίστασθε τὰ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμίς ἐστε ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα καὶ ἀφα-

2. δε *ABv*, om ς εγγεισατε *A* 3. εγγιει *A*ς, εγγισει *B* 4. και κλαυσατε *B*ς, κλαύσατε *A* 5. μεταστραφητω *A*ς, μετατραπητω *B* 6. κυριου *AB*, τοῦ Κυρίου ς 7. αλληλων αδελφοι *Bv*ς, αδελφοι μου αλληλων *A* η *ABv*, καὶ ς 8. ει *Bv*ς, η *A* 10. και κριτης *ABv*, om ς ὁ om *A* δε *ABv*, om ς 11. ο κρινων *AB*, ὃς κρίνεις ς πλησιον *ABv*, ἕτερον ς 12. η *Bv*ς, και *A* πορευσομεθα *B*?*v*ς, πορευσωμεθα *A* et *B*? 13. ποιησομεν *B*?*v*ς, ποιησωμεν *A* et *B*? εκει *Bv*ς, om *Av* ενιαυτον *Bv*, add ενα *A*ς 13. 14. εμπορευσωμεθα και κερδησωμεν *B*? 14. τα *A*, τὸ ς, om *B* 14. 15. γαρ η *Av*ς, om *B* 15. εσται *A*, γαρ εστε *B*, γάρ ἐστιν ς ἡ om *B*? και *AB*, δὲ ς

milibus autem dat gratiam. [7]subditi igitur (ergo) estote deo (dei), resistite autem diabolo, et fugiet a uobis: [8]adpropinquate domino (deo *L*), et adpropinquabit (-auit *FL*) uobis. emundate manus, peccatores, et purificate corda, duplices (duplici) animo. [9]miseri estote et lugete et plorate (et pl. *om al*): risus uester in luctum (luctu) conuertatur et gaudium (gaudius *pr F*) in merorem. [10]humiliamini in conspectu domini, et exaltabit (-uit *L et pr F*) uos. [11]nolite detrahere de (*om L*?) alterutrum (-tro), fratres. qui detrahit fratri *aut* qui (*om al*) iudicat fratrem suum, detrahit legi et iudicat legem: si autem iudicas legem, non es factor legis, sed iudex. [12]unus est legis lator et iudex, qui potest perdere et liberare: tu autem quis es qui iudicas proximum? (15) [13]Ecce nunc qui (quid) dicitis Hodie aut crastina (-no *L*) ibimus in illam ciuitatem et faciemus quidem ibi (i. q., quidem) annum et mercabimur et lucrum faciemus; [14]qui ignoratis quid erit (sit *L*) in crastinum (-no): quae enim est (est enim *F*) uita uestra? uapor est ad modicum parens (paraus), deinceps extermina-

νιζομένη) [15]ἀντὶ τοῦ λέγειν ὑμᾶς Ἐὰν ὁ κύριος θελήσῃ, καὶ ζήσομεν καὶ ποιήσομεν τοῦτο ἢ ἐκεῖνο. [16]νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν. [17]εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστίν.

[1]Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. [2]ὁ πλοῦτος ὑμῶν σέσηπεν, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν, [3]ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ. ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις. [4]ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν, κράζει, καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα κυρίου σαβαὼθ εἰσελήλυθαν. [5]ἐτρυφήσατε ἐπὶ τῆς γῆς καὶ ἐσπαταλήσατε, ἐθρέψατε τὰς καρδίας ὑμῶν ἐν ἡμέρᾳ σφαγῆς. [6]κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν.

[7]Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ κυρίου. ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ ἕως ἂν λάβῃ πρώϊμον καὶ ὄψιμον· [8]μακροθυμή-

1. θεληση Αυς, θελη *B* ζησομεν *AB*, ζήσωμεν ς 2. η εκεινο *B*ς, ἤκεινο *A* αλαζωνιαις *A*? 3. καυχησεις *A* 4. ποιειν] sic corr *A* 5. πλουσιοι] sic corr *A* 8. κατιωται *B*υς, κατ' ἴωται ante και ο αργ. *A* 9. υμων *B*υς, add ο ἴος *A* ημεραις εσχαταις *A* 12. εισεληλυθαν *B*, εἰσεληλύθασιν ς, εισεληλυθεν *A* 13. και *B*ς, om *A* εν *AB*υ, ὡς ἐν ς ημερα *B*υς, ημεραις *A* 17. αν *B*ς, om *A* πρωιμον *B*υ, υετον προϊμον (πρώϊμον ς) *A*ς

tur; [15]pro eo ut dicatis Si dominus uoluerit et [si om *L*] uixerimus, faciemus hoc aut illud. [16]nunc autem exultatis (exalt.) in superbiis uestris. omnis exultatio (exalt.) talis maligna est. [17]scienti igitur bonum facere et non facienti, peccatum est illi. (16) [1]Agite nunc, diuites, plorate ululantes in miseriis [uestris] quae aduenient uobis. [2]diuitiae uestrae putraefactae (putref.) sunt, et uestimenta uestra a tineis comesta sunt, [3]aurum et argentum uestrum eruginauit, et erugo eorum in testimonium uobis erit et manducabit carnes uestras sicut ignis. thesaurizastis in nouissimis diebus. [4]ecce merces (mercis) operariorum qui messuerunt regiones uestras, qui fraudatus est (fraudati sunt) a uobis, clamat (clamant), et clamor ipsorum (eor.) in aures domini Sabaoth intro iit (iuit *L*). [5]epulati estis super terram et in luxuriis enutristis corda uestra in die (diem *L*) occisionis. [6]addixistis (addux. *L*), occidistis iustum: [et *L*] non resistit (restitit *V al*, restituit *pr F*) uobis. [7]patientes igitur estote, fratres [mei], usque ad aduentum domini. (17) Ecce agricola expectat praetiosum (speciosum) fructum terrae, patienter ferens donec accipiat temporiuum (temperiuum, temporaneum *L*?) et serotinum: [8]patientes [igitur *F*] estote et uos, [et

σατε καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ
κυρίου ἤγγικεν. [9]μὴ στενάζετε, ἀδελφοί, κατʼ ἀλλήλων, ἵνα μὴ κρι-
θῆτε· ἰδοὺ ὁ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. [10]ὑπόδειγμα λάβετε,
ἀδελφοί, τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας οἳ
ἐλάλησαν ἐν τῷ ὀνόματι κυρίου. [11]ἰδοὺ μακαρίζομεν τοὺς ὑπομεί-
ναντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος κυρίου εἴδετε,
ὅτι πολύσπλαγχνός ἐστιν ὁ κύριος καὶ οἰκτίρμων.

[12]Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν
μήτε τὴν γῆν μήτε ἄλλον τινὰ ὅρκον, ἤτω δὲ ὑμῶν τὸ ναὶ ναὶ καὶ
τὸ οὒ οὔ, ἵνα μὴ ὑπὸ κρίσιν πέσητε.

[13]Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω. εὐθυμεῖ τις; ψαλ-
λέτω. [14]ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους
τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπʼ αὐτόν, ἀλείψαντες αὐτὸν
ἐλαίῳ ἐν τῷ ὀνόματι κυρίου. [15]καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν
κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς,
ἀφεθήσεται αὐτῷ. [16]ἐξομολογεῖσθε οὖν ἀλλήλοις τὰς ἁμαρτίας καὶ

2. *αδελφοι Bυ, αδελφοι μου A, ἀδελφοὶ* post *ἀλλήλων* ς *κρι-θητε ABυ, κατακριθῆτε* ς 3. *ο AB*, om ς *λαβετε Bυ*ς, om *A* 4. *αδελφοι ABυ*, add *μου* ς *μακροθυμιας Bυ*ς, add *εχετε A* 5. *εν Bυ*, om *A*ς *υπομειναντας ABυ, ὑπομένοντας* ς 6. *ιδετε AB* 9. *αλλον τινα ορκον Bυ*ς, *αλλον ορκον τινα A* 13. *αυτον* alterum *Aυ*ς, om *B* 14. *κυριου A, του K.* ς, om *B* 16. *ουν ABυ*, om ς *τας αμαρτιας AB, τὰ παραπτώματα* ς

F al] confirmate corda uestra, quoniam aduentus domini [iam] ad-
propinquauit (-abit *LV al*). [9]nolite ingemescere (ingemisc.), fratres, in
alterutrum, ut non iudicemini: ecce iudex ante ianuam adsistit.
[10]exemplum accipite, fratres, laboris et patientiae [per *L*] prophetas
qui locuti sunt in nomine domini. (18) [11]Ecce beatificamus qui susti-
nuerunt: sufferentiam Iob audistis, et finem domini (dei) uidistis,
quoniam (quia) misericors est dominus (*om al*) et miserator. (19)
[12]Ante omnia autem, fratres mei, nolite iurare, neque per caelum
neque per (*om al*) terram neque aliud quodcumque iuramentum, sit
autem uestrum (sermo uester *L al*) est est, non non, uti non sub iudicio
decidatis. [13]tristatur aliquis uestrum? oret aequo animo et psallat.
[14]infirmatur quis (aliquis *F*) in (ex *F*, *om al*) uobis? inducat pres-
byteros (praesb. *L*) ecclesiae, et orent super eum, unguentes (un-
gentes *V al*) eum oleo in nomine domini. [15]et oratio fidei saluabit
(-uit) infirmum, et adleuabit (all. *L al*, -uauit *F*) eum dominus, et
si in peccatis sit, remittetur (dimittentur *L*, demittitur, remittentur)
ei. [16]confitemini ergo alterutrum peccata uestra, et orate pro inuicem,*

προσεύχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. [17]Ἡλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ, [18]καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ἔδωκεν ὑετὸν καὶ ἡ γῆ ἐβλάστησεν τὸν καρπὸν αὐτῆς.

[19]Ἀδελφοί μου, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας καὶ ἐπιστρέψῃ τις αὐτόν, [20]γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

ΠΕΤΡΟΥ Α.

Πέτρος ἀπόστολος Ἰησοῦ χριστοῦ ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου Γαλατίας Καππαδοκίας Ἀσίας καὶ Βιθυνίας, [2]κατὰ πρόγνωσιν θεοῦ πατρός, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ χριστοῦ. χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.

1. *προσευχεσθαι AB, ευχεσθε B?ς* 5. *εδωκεν υετον Αυ, υετον εδωκε Bς* 6. *μου ABυ, om ς* 7. *γινωσκετω Aυς, γινωσκετε B* 8. *ψυχην Bς, την ψυχην A αυτου εκ θανατου Aυ, εκ θανατου αυτου B, ἐκ θανάτου ς ιακωβου επιστολη A, ιακωβου B πετρου α B, πετρου επιστολη ᾱ C, πέτρου τοῦ ἀποστόλου ἐπιστολὴ καθολικὴ πρώτη ς* 11. *και βιθυνιας in margine pr (?) B* 13. *πληθυνθειη] sic corr A*

ut saluemini: multum enim ualet depraecatio iusti adsidua (assid. *V al*). (20) [17]Helias homo erat similis nobis passibilis, et oratione (-onem) orauit ut non plueret super terram, et non pluit annos tres et menses sex, [18]et rursum (rursus *L al*) orauit, et caelum dedit pluuiam et terra dedit fructum suum. [19]fratres mei, siquis ex uobis errauerit (err. ex u.) a (*om pr F*) ueritate et conuerterit quis eum, [20]scire debet quoniam qui [cumque] conuerti fecerit peccatorem ab errore uiae (uitae *L*) suae, saluabit (saluauit *F al*) animam eius a morte et operit (cooperit *L*) multitudinem peccatorum.

[Legi meum. *V*] [Expl. epistula sancti Iacobi ad dispersos. *F*]

EPISTVLA SANCTI PETRI APOSTOLI (AD GENTES *F*) PRIMA.

Petrus apostolus (apostulus) Iesu Christi electis aduenis dispersionis Ponti (Pontiae) Galatiae Cappadociae Asiae [Frigiae] et Bithyniae (Bythyn. *F*, Bythin. *L*), [2]secundum praescientiam (-tia *pr F*) dei patris, in sanctificationem (-ne) spiritus, in oboedientiam (-tia) et [in] aspersionem sanguinis Iesu Christi. gratia uobis et pax mul-

[3]*Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ χριστοῦ ἐκ νεκρῶν,* [4]*εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς* [5]*τοὺς ἐν δυνάμει θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ.* [6]*ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστίν, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς,* [7]*ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολυτιμότερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν καὶ τιμὴν ἐν ἀποκαλύψει Ἰησοῦ χριστοῦ,* [8]*ὃν οὐκ ἰδόντες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ,* [9]*κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.* [10]*περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ*

5. *υμας ACv, ημας Bς* 6. *εν ω ABvς et pr C?, om corr C* *αγαλλιασθε ABCvς, ἀγαλλιάσεσθε Orig* 1,300b 7. *εστιν ACς Orig, om B* *ποικιλαις C* 8. *υμων ABCvς, ἡμῶν Orig* *πολυτιμοτερον ABC, πολὺ τιμιώτερον ς Orig* *χρυσιου ACς Orig, χρυσου B* 9. *δια πυρος δε δοκιμαζομενου ABCς, καὶ διὰ πυρὸς δεδοκιμασμένου Orig* 9. 10. *δοξαν και τιμην ABCv Orig, τιμὴν καὶ δόξαν ς* 10. *ιδοντες (ειδ. C) BCv Iren* 301, videntes *Iren* 238, *ειδοτες Aς* 11. *αρτι ABCς Orig* 3,692c, nunc *Iren* 238, nunc quoque *v Iren 301* *πιστευοντες δε ABCvς Orig,* creditis credentes autem *v Iren* 301, credidistis *Iren* 238 *αγαλλιασθε Aς et corr C, αγαλλιατε B Orig et pr C?,* exultabitis *Iren* 301, gaudebitis *Iren* 238 12. 13. *της πιστεως υμων (om B) ABCvς, om Orig* 3,545e 13. *σωτιριαν C*

tiplicetur. (1) [3]Benedictus deus et pater domini nostri Iesu Christi, qui secundum magnam misericordiam suam regenerauit nos in spem uiuam (uitae) per resurrectionem Christi Iesu (I. C. *L al*) ex mortuis, [4]in hereditatem incorruptibilem et incontaminatam et inmarcescibilem, conseruatam in caelis [in *om L*] uobis [5]qui in uirtute dei custodimini per fidem in salutem paratam reuelari in tempore nouissimo. [6]in (*om F*) quo exultatis (-bitis), modicum nunc si oportet contristari in uariis temptationibus (temt. *F*), [7]ut probatio uestrae fidei multo praetiosior (-sius) sit auro quod [perit *F*] per ignem probatur (probatio, i *eraso, F*) (2) Inueniatur in laudem et [in] gloriam et honorem in (*et*) reuelatione (-nem *L al*) Iesu Christi; [8]quem cum non (*om al*) uideritis diligitis, in quem nunc quoque non uidentes [creditis *om F*], credentes autem (quem cum uideritis *L al pro* credent. aut.), exultatis (exultabitis *L al*) [in *F al*] laetitia inenarrabili et glorificata, [9]reportantes finem fidei uestrae, salutem animarum [uestrarum *L*]. [10]de qua salute exquisierunt (exques.) atque (ad-

1. ..χαν *A*, εἶχον ς 5. ὁμοίας *v*ς, ομοιοις *A* 5. 6. και (ἦν ς) εν ταις ουραις αυτων (*add* καὶ ς) η εξουσια αυτων αδικησαι *A*ς, potestas in caudis earum erat laedendi *h* 7. εχουσιν *A*, καὶ ἔχουσιν (habebant *h*) *hv*ς επ *A*, ἐφ' ς ἄγγελον τῆς ἀβύσσου *hv*ς, αρχοντα της αβυσσου τον αγγελον *A* ονομα αυτω *A*ς, cui nomen *hv* 8. αβαδδων *Av*ς, armageddom *h* εν τη ελληνικη ονομα εχει απολλυων *A*ς, graeca autem lingua apollyon et latina lingua nomen habens exterminans *h* 9. ιδου ερχεται (ἔρχονται ς) ετι δυο ουαι μετα ταυτα *Av*ς, et ecce alia duo vae sequuntur *h* 10. φωνην μιαν *A*ς, unum *h* *Cypr* 322 11. των *Av*, *add* τεσσάρων *h*ς *Cypr* cornibus *hv*, angulis *Cypr* του θυσιαστηριου του χρυσου του ενωπιον του θεου *Av*ς, arae dei arae quae sub oculis dei est *h*, arcae aureae quae est in conspectu dei *Cypr* 12. λεγοντα *A*, dicentem *hv* *Cypr*, Λέγουσαν ς ἕκτῳ *hv*ς *Cypr*, *om* *A* ο εχων (ὃς εἶχε ς) την σαλπιγγα *Av*ς *Cypr*, qui tubam portabat *h*

facies hominum, [8]et habebant capillos sicut capillos (*om al*) (s. c. *om F*) mulierum, et dentes earum sicut leonum erant, (et habebant-erant *om al*) [9]et habebant loricas sicut loricas ferreas, et uox alarum earum sicut uox curruum (currum) equorum multorum currentium (corrent.) in bellum. [10]et habebant caudas similes scorpionum, et aculei [erant *om L al*] in caudis (caudibus *F*, cauda) earum, potestas earum nocere hominibus mensibus quinque. [11]et habebant (habent *F*) super se regem angelum (-lorum *L*) abyssi (abysi), cui nomen Hebraeice (-aeicae *pr F*, -eicae *L*, -aice) Abaddon, Graece (Grece *L*, Graecae *pr F*) autem (*om F*) Apollyon (Apollion *FL*, Apollon), et Latine (-nae *L et pr F*) habet (habit, habens) nomen (h. n. *om F*) Exterminans. [12]uae unum abiit (habuit): [et] ecce ueniunt adhuc duo uae post haec. [13]et sextus angelus tuba cecinit. et audiui uocem, unum ex cornibus altaris aurei quod est ante oculos dei, [14]dicentem sexto angelo qui habebat (habet *pr L*) tubam Solue quattuor ange-

τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ. [15]καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆνα καὶ ἐνιαυτόν, ἵνα ἀποκτείνωσιν τὸ τρίτον τῶν ἀνθρώπων. [16]καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων τοῦ ἱππικοῦ δισμυριάδες μυριάδων· ἤκουσα τὸν ἀριθμὸν αὐτῶν. [17]καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις, καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον. [18]ἀπὸ τῶν τριῶν πληγῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων, ἐκ τοῦ πυρὸς καὶ τοῦ καπνοῦ καὶ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν. [19]ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι αὐτῶν

1. *τω μεγαλω Αυς Cypr* 322, illud magnum *h* 2. *ελυπηθησαν Α τεσσαρες Αυς Cypr*, quatuor illi *h* 4. 5. *των* (*om ς*) *στρατευματων του ιππικου Ας*, exercituum equestrium *Cypr*, militantium equitum illius *h* 5. *δισμυριαδες μυριαδων Α Cypr, δύο μυριάδες μυριάδων ς*, octoginta millia *h* *ηκουσα Αhv Cypr* 322, *καὶ ἤκ. ς* 6. *ουτως ACvς Cypr, om h* 7. *υακινθινους ACvς Cypr*, spineas *h* *θειωδεις C* 8. *αι κεφαλαι των ιππων ως κεφαλαι λεοντων ACvς*, capita equorum *Cypr*, erant eis capita ut leonum *h* *των στοματων Ας*, ore *hv Cypr* 322 9. *εκπορευεται ACvς*, exiit *Cypr*, exiebat *h* *απο των* (*om C*) *AC*, *Ὑπὸ τῶν ς* 10. *πληγων ACv Cypr, om ς* *απεκτανθησαν ACς*, occisa est *v Cypr* 11. *του καπνου και ACv Cypr, ἐκ τοῦ καπνοῦ καὶ ἐκ ς* 11. 12. *του εκπορευομενου εκ των στοματων ACς*, quod exiit de ore *Cypr* 322 12. *η γαρ εξουσια των ιππων* (*τοπων Α*) *εν τω στοματι αυτων* (*om h*) *AChv, Αἱ γὰρ ἐξουσίαι αὐτῶν ἐν τῷ στόματι αὐτῶν ς, om Cypr*

los qui alligati sunt in flumine magno Eufrate (Euphr., -ten). [15]et soluti sunt quattuor angeli qui parati erant in horam et diem et mensem et annum, ut occiderent tertiam partem hominum. [16]et numerus equestris exercitus uicies milies dena milia: audiui numerum eorum. [17]et ita uidi equos in uisione, et qui sedebant super eos, habentes (habebant) loricas igneas et hyacintinas (*sic F*, iacinthin. *ceteri*, -thineas *unus*) et sulphureas (solph., sulphoreas *L al*), et capita equorum erant tamquam capita leonum, et de ore ipsorum (eorum *L*) procedit ignis et fumus et sulphur (sulphor *F*, solph.). [18]ab his tribus plagis occisa est tertia pars hominum de igne et fumo et sulphure (solph., sulphore *L*, sulfore) qui procedebat (-bant) ex (de *L*) ore ipsorum. [19]potestas enim equorum in ore eorum est et in caudis eorum (illo-

ἐστὶν καὶ ἐν ταῖς οὐραῖς αὐτῶν· αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλάς, καὶ ἐν αὐταῖς ἀδικοῦσιν. [20]*καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὔτε μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσουσιν τὰ δαιμόνια καὶ τὰ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύνανται οὔτε ἀκούειν οὔτε περιπατεῖν,* [21]*καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν οὔτε ἐκ τῆς πορνείας αὐτῶν οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.* [1]*καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ ἡ ἶρις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ*

1. *εστιν και εν ταις ουραις αυτων ACv Cypr*, et caudis eorum erat *h*, *εἰσιν ς* *αυτων ομοιαι Avς Cypr et corr C*, eorum erant similes *h*, *αυτων pr C?* 2. *εχουσαι*] *sic corr C*, *εχουσιν pr C?* *κεφαλας ACvς*, *add* draconum *h*, enim capita *Cypr* 322 *και εν αυταις ACς Cypr*, de quibus *h* nocent *vel* nocebant *h* 2. 3. *των ανθρωπων οι ουκ απεκτανθησαν εν ταις πληγαις ταυταις* (in istis plagis) *ACς Cypr*, homines qui his plagis non sunt interempti *h* 3. *ουτε Ahvς Cypr*, *ου C* 4. *εκ των εργων των χειρων αυτων ACvς*, opera factorum manuum suarum *Cypr*, factorum suorum malorum *h* *προσκυνησουσιν AC*, *προσκυνήσωσι ς* 5. *τα* (*om ς*) *ειδωλα ACς*, simulacra *hv*, idola id est simulachra *Cypr* 6. *δυνανται AC*, *δύναται ς* *ουτε ακουειν AChvς*, *om Cypr* 7. *εκ* (*om Cypr*) *των φονων αυτων ACς Cypr*, ab homicidiis *h* 7. 8. *εκ των φαρμακειων* (*-μακων C*) *ACς*, a veneficiis *hv* 8. *πορνιας C vς*, *πονηριας A* 9. *αλλον αγγελον ACvς*, angelum alium *h* 10. *περιβεβλημενον νεφελην ACvς*, nube amictum *h* *η ιρεις* (*ιρης C*) *επι την κεφαλην AC*, *ἶρις ἐπὶ τῆς κεφαλῆς ς* 11. *αυτου primum AChv*, *om ς* erat ut *hv*

rum): nam [et *L al*] caudae (ill. *F*) eorum similes serpentibus (-tes), habentes capita, et in his nocent. [20]et ceteri homines, qui non sunt occisi (occi *pr F*) in his (*om F*) plagis, neque paenitentiam (pen.) egerunt de operibus manuum (manum) suarum, ut non adorarent (adorent *L al*) daemonia et simulachra (-lacra *F*, -lagra) aurea et argentea et aerea (et arg. et ae. *om al*) et lapidea (labidia) et lignea (-nia), quae neque uidere possunt neque audire neque ambulare (ambol.), [21]et non egerunt paenitentiam (pen.) ab homicidiis suis neque a ueneficiis (benef. *L et pr F*) suis neque a fornicatione sua neque a furtis suis. (9) [1]Et uidi alium angelum fortem descendentem (disc.) de caelo, amictum nube (nubem), et iris (hiris *F*) [erat *F*] in capite eius, et facies eius erat ut sol, et pedes eius tamquam columna

ὡς στῦλοι πυρός, [2]καὶ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον ἠνεῳγμένον. καὶ ἔθηκεν τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης, τὸν δὲ εὐώνυμον ἐπὶ τῆς γῆς, [3]καὶ ἔκραξεν φωνῇ μεγάλῃ ὥσπερ λέων μυκᾶται. καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς. [4]καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταί, ἤμελλον γράφειν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν Σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί, καὶ μὴ αὐτὰ γράψῃς. [5]καὶ ὁ ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν εἰς τὸν οὐρανόν, [6]καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, [καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ,] ὅτι χρόνος οὐκέτι ἔσται, [7]ἀλλ' ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, καὶ ἐτελέσθη τὸ μυστήριον τοῦ θεοῦ,

1. *ωστυλοι C* *εχων AC, ειχεν hvς* *χιρει C* *βιβλαριδιον* (*-δειον pr A*) *Avς et corr C, βιβλιδαριον pr C,* librum *h* *ηνεωγμενον* (*ἀνεῳγ. ς*) *Chvς, om A* 2. *τον δεξιον Ahvς,* om *C* *της θαλασσης AC, τὴν θάλασσαν ς* 3. *τον δε ACvς,* et *h* *της γης AC, τὴν γῆν ς* 4. *μυκαται* (*μοικ. C*) *ACvς,* rugiens *h* *τας εαυτων φωνας ACς, om h* 5. *οτε ACvς,* quae *h* *βρονται AChv, add τὰς φωνὰς ἑαυτῶν ς* *ημελλον AC, ἔμελλον ς* 6. *λεγουσαν AChv, add μοι ς* 7. *επτα Ahvς, om C* *και μη αυτα* (*ταῦτα ς*) *γραψης ACς,* ne scripseris ea *h* 8. *ηρε Aς, ηρεν C* 9. *την δεξιαν Ch, om Avς* per viventem *hv* 10. *εκτισεν τον ουρανον ACvς,* caelum constituit *h* 10. 11. *και την γην και τα εν αυτη Chvς, om A* 11. *και την θαλασσαν και τα εν αυτη Cvς, om Ah* 12. *ουκετι εσται AChv, οὐκ ἔσται ἔτι ς* *αλλ AC, Ἀλλὰ ς* *του Aς, om C* 13. *και ετελεσθη AC, καὶ τελεσθῇ ς,* finietur *h*

(columnae *L*) ignis, [2]et habebat in manu sua libellum apertum. et posuit pedem suum dextrum super (supra) mare, sinistrum autem super terram, [3]et clamauit uoce magna, quem admodum (ammodum *L al*) cum leo rugit. et cum clamasset, locuta sunt septem tonitrua uoces suas. [4]et cum locuta fuissent septem tonitrua [uoces suas *om FL*], [et ego *om FL al*] scripturus (scribt. *pr F*) eram: et audiui uocem de caelo (de c. *om al*) dicentem Signa quae locuta sunt septem tonitrua: noli ea (eas *L et pr F*) scribere. [5]et angelum quem uidi stantem supra mare et supra terram, leuauit manum suam ad caelum, [6]et iurauit per uiuentem in saecula saeculorum, qui creauit caelum et ea quae in illo sunt, et terram et ea quae in ea sunt, et mare et [ea *om F*] quae in eo sunt, quia tempus amplius non erit, [7]sed in diebus uocis septimi angeli, cum coeperit tuba canere, et (*om F al*) consummabitur (cums.) mysterium dei (*om al*), sicut euan-

ὡς εὐηγγέλισεν τοὺς ἑαυτοῦ δούλους, τοὺς προφήτας. [8]καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ πάλιν λαλοῦσαν μετ᾽ ἐμοῦ καὶ λέγουσαν Ὕπαγε λάβε τὸ βιβλίον τὸ ἠνεῳγμένον ἐν τῇ χειρὶ τοῦ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς. [9]καὶ ἀπῆλθα πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ δοῦναί μοι τὸ βιβλαρίδιον. καὶ λέγει μοι Λάβε καὶ κατάφαγε αὐτό· καὶ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ᾽ ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι. [10]καὶ ἔλαβον τὸ βιβλαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον αὐτό· καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυκύ· καὶ ὅτε ἔφαγον αὐτό, ἐπικράνθη ἡ κοιλία μου. [11]καὶ λέγουσίν μοι Δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς καὶ ἔθνεσιν καὶ γλώσσαις καὶ βασιλεῦσιν πολλοῖς. [1]καὶ ἐδόθη μοι

1. τους εαυτου δουλους τους προφητας *AC*, τοῖς ἑαυτοῦ δούλοις τοῖς προφήταις ς, per prophetas servos suos *h* 1. 2. η φωνη ην ηκουσα *ACv*ς, audivi vocem *h* 2. λαλουσαν *ACh*v, λαλοῦσα ς και λεγουσαν (-σα ς) *ACv*ς, *om h* 3. λαβε *ACv*ς, et accipe *h* το βιβλιον *AC*, librum *hv*, τὸ βιβλαρίδιον ς εν τη χειρι *A*ς, de manu *hv*, *om C* του αγγελου *AC*, ἀγγέλου ς 4. απηλθα *A*, απηλθον *C*ς αυτω *ACv*ς, *om h* 5. δουναι *AC*, ut daret *hv*, Δός ς βιβλαριδιον (-ρι^δ^ιον *A*) *AC*ς, librum *hv* 5. 6. καὶ ἄλλην δε κεφαλίδα βιβλίου γεγραμμένην εὑρήσεις ἐν τῇ ἀποκαλύψει τὸν Ἰωάννην κατεσθίοντα· πλεῖον γὰρ κεφαλίδος οὐ χωρεῖ φαγεῖν ἡ ἀνθρωπεία φύσις *Orig* 3,408^e^ (*ad Ezech.* 3, 1.) 6. σου την κοιλιαν *C*ς, ventrem tuum *hv*, σου την καρδιαν *A* 7. εσται (εστε *C*) γλυκυ *ACv*ς, dulcis erit *h* ελαβον *ACv*ς, cum accepissem *h* libellum *h* 8. 9. καὶ κατέφαγον . . . γλυκύ *om h* 9. ως μελι γλυκυ *Cv*ς, γλυκυ ως μελι *A* 9 - *p*. 656, 6. *de C confer pag* 647, 8 9. επικρανθη *Av*ς, statim repletus est *h* 10. λεγουσιν *A*, ait *h*, λέγει ς 10. 11. επι λαοις . . . πολλοις *A*ς, in populo et in nationes et linguas et reges multos *h* 11. *seq* και εδοθη μοι καλαμος ομοιος *Av*ς, dedit mihi arundinem auream similem *h*

gelizauit per seruos suos prophetas. (10) [8]Et uox (uocem) quam audiui [dicentem *L al*] de caelo iterum loquentem (locuta est) mecum et dicentem (dixit mihi) Vade accipe librum (l. a. *L*) apertum de manu angeli stantis supra mare et supra terram. [9]et abii (habii) ad angelum, dicens ei ut daret mihi librum. et dicit (dixit) mihi Accipe [librum] et deuora illum (eum *L*): et faciet amaricare (-ri) uentrem tuum, sed in ore tuo erit dulce tamquam mel. [10]et accepi (accipi) librum de manu angeli, et deuoraui eum: et erat in ore meo tamquam mel (*om pr F*) dulce (-cem *pr F*): et cum deuorassem eum, amaricatus est uenter meus. [11]et (*om F*) dicunt (*sic pr L*, dicit *F al et corr L*, dixit *al*) mihi Oportet te iterum prophetare populis et gentibus et linguis et regibus multis. [1]et datus est mihi calamus (cha-

κάλαμος ὅμοιος ῥάβδῳ, λέγων Ἔγειρε, καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ καὶ τὸ θυσιαστήριον καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ. 2καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ ἔκβαλε ἔξωθεν καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσιν, καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσιν μῆνας τεσσεράκοντα καὶ δύο. 3καὶ δώσω τοῖς δυσὶν μάρτυσίν μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα περιβεβλημένοι σάκκους. 4οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον κυρίου τῆς γῆς ἑστῶτες. 5καὶ εἴ τις αὐτοὺς θέλει ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· καὶ εἴ τις θέλει αὐτοὺς ἀδικῆσαι, οὕτως δεῖ αὐτὸν ἀποκτανθῆναι. 6οὗτοι ἔχουσιν τὴν ἐξουσίαν κλεῖσαι τὸν οὐρανόν, ἵνα μὴ ὑετὸς βρέχῃ τὰς ἡμέρας τῆς προφητείας αὐτῶν,

1. λεγων Ahv, καὶ ὁ ἄγγελος εἱστήκει λέγων ς   εγειρε A, Ἔγειραι ς   2. θυσιαστηριον Avς, aram dei h   2. 3. και την αυλην την Aς, aram autem quae est h   3. εκβαλε εξωθεν (ἔξω ς) και μη αυτην μετρησης Avς, ne metiaris h   4. πατήσουσιν vς, calcabant (?) h, μετρησουσιν A   5. τεσσερακοντα καὶ A, τεσσαράκοντα hς   6. και προφητευσουσιν Avς, ut prophetent h   7. περιβεβλημενοι (-νους A) σακκους ACvς, saccis amicti h   ἐλαῖαι hvς, αυλαιαι A, αλαιαι C   και αι AC, καὶ ς   8. κυριου (του κ. C) AChv, τοῦ Θεοῦ ς   εστωτες AC, ἑστῶσαι ς, consistentia *post* candelabra h   ει Ahvς, η C   αυτους θελει (-λῃ ς) ACς, voluerit eos h   9. εκπορευεται ACς, exiet h   κατεσθιει ACς, devorabit hv   10. ει Ahvς, η C   θελει (θελησῃ Av) αυτους ACv, αὐτοὺς θέλῃ (vult) hς   ουτως (-τω ς) Chvς, om A   11. αυτον ACvς, et illum h   την AC, om ς   12. υετος (imbrem) βρεχη AChς, βρέχῃ ὑετὸς ς   τας ημερας AC, ἐν ἡμέραις hvς   της προφητιας αυτων AChv, αὐτῶν τῆς προφητείας ς

lamus) similis uirgae, dicens Surge et metire templum dei et altare et adorantes in eo. 2atrium autem (*om F*) quod est foris (*om al*) templum (-plo) eice (eiece) foras et ne metiaris (metieris *F*) eum, quoniam datum (datus *pr F*) est gentibus, et ciuitatem sanctam calcabunt mensibus quadraginta [et *F*] duobus. 3et dabo duobus (*om al*) testibus meis, et prophetabunt (prophaet.) diebus mille ducentis sexaginta (xL *al*) amicti saccos. 4hi (hii) sunt duae oliuae et duo candelabra (et d. c. *om F*) in conspectu domini terrae stantes. 5et siquis eos (eorum *F*) uoluerit nocere, ignis exiet de ore illorum (ipsor. *L*) et deuorabit (-uit *L al*) inimicos eorum: et siquis uoluerit eos (*om al*) (e. u.) laedere, sic oportet eum occidi. 6hi habent potestatem cludendi (cludiendi *L*) caelum, ne pluat [in *F*] diebus pro-

καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν αὐτὰ εἰς αἷμα καὶ
πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ ὁσάκις ἐὰν θελήσωσιν. 7καὶ ὅταν
τελέσωσιν τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς
ἀβύσσου ποιήσει μετ' αὐτῶν πόλεμον καὶ νικήσει αὐτοὺς καὶ ἀπο-
κτενεῖ αὐτούς. 8καὶ τὸ πτῶμα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως
τῆς μεγάλης, ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος,
ὅπου καὶ ὁ κύριος αὐτῶν ἐσταυρώθη. 9καὶ βλέπουσιν ἐκ τῶν λαῶν
καὶ φυλῶν καὶ γλωσσῶν καὶ ἐθνῶν τὸ πτῶμα αὐτῶν ἡμέρας τρεῖς
καὶ ἥμισυ, καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφίουσιν τεθῆναι εἰς μνῆμα.
10καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαίρουσιν ἐπ' αὐτοῖς καὶ εὐφραί-
νονται, καὶ δῶρα πέμψουσιν ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προφῆται
ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. 11καὶ μετὰ τὰς τρεῖς

1. *εχουσιν Ahvς, εχωσιν C*   *επι ACvς*, omnium *h*   2. *εν ACh, om vς*   *εαν Aς, αν C*   *θελησωσιν Avς, θελησουσιν C*, noluerint (?) *h*   3. *θηριον Chvς, add το τεταρτον A*   *το αναβαινων A*   4. *μετ αυτων πολεμον ACh, πόλεμον μετ' αὐτῶν ς Hilar* 710   *νεικηση C*   5. *το πτωμα AC, τὰ πτώματα* (corpora) *hvς*   *επι της πλατειας της (om ς) πολεως ACς*, ponet in medio civitatis illius *h*   7. *αυτων AChv, ἡμῶν ς*   *βλεπουσιν A C, βλέψουσιν hvς*   8. *και γλωσσων ACvς*, linguis *h*   8. 9. *το πτωμα (τὰ πτώματα ς) αυτων ημερας τρις και ημισυ (ημισου A) ACς, om h*   9. corpora *hv*   *αφιουσιν ACv, ἀφήσουσι hς* .... *A, εις μνημιον (μνήματα ς), Cς*, in sepulcris *h*   10. inhabitantes terram *hv*   *χαιρουσιν C, ...ρουσιν A, χαροῦσιν hvς*   *ευφραινονται AC, εὐφρανθήσονται hvς*   11. *πεμψουσιν αλληλοις (-λους C) ACvς*, invicem mittent *h*   *προφηται ACvς, om h*   12. *επι της γης ACς*, terram *h*

phetiae (profit.) ipsorum, et potestatem habent super aquas, conuertendi eas in sanguinem (-ne *F al*) et percutere terram omni plaga quotienscumque (quotiensqumque) uoluerint. 7et cum finierint testimonium suum, bestia (bestiae *L*) quae ascendit (-det) de abysso (abyso) faciet aduersus illos bellum et uincet illos (eos *F al*) et occidet (-dit) illos. 8et [iacebunt] corpora eorum [iacebunt] in plateis ciuitatis magnae (*om al*) [iacebunt *L*], quae uocatur spiritaliter Sodoma et Aegyptus, ubi et dominus eorum cruci fixus est. 9et uidebunt de populis et tribubus (tribus *F*) et linguis et gentibus corpora eorum per tres dies et dimidium, et corpora eorum non sinunt poni in monumentis. 10et inhabitantes terram (terrae) gaudebunt super illos (illis) et iucundabuntur (iocund. *L al*) et munera mittent (mittunt) [ad] inuicem, quoniam hi (i) duo prophetae cruciauerunt (cruauer. *F*) eos qui habitabaut (inhabitant *F al*) super (*om F*) terram. 11et

ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ εἰσῆλθεν ἐν αὐτοῖς, καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας ἐπέπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς. [12]καὶ ἤκουσαν φωνὴν μεγάλην ἐκ τοῦ οὐρανοῦ λέγουσαν αὐτοῖς Ἀνάβατε ὧδε, καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ, καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. [13]καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς μέγας, καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσεν, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά, καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο καὶ ἔδωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ. [14]Ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν· ἰδοὺ ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ.

[15]Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισεν, καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγοντες Ἐγένετο ἡ βασιλεία τοῦ κόσμου τοῦ κυρίου ἡμῶν καὶ τοῦ χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶ-

1. *ἥμισυ ς, ημισου A, το ημισυ C* *εκ* (a) *του θεου εισηλθεν Ahvς, εισηλθεν εκ του θεου C* *εν αυτοις A, αυτοις C, ἐπ'* (in) *αὐτοὺς hvς* 2. 3. *φοβος μεγας επεπεσεν* (*ἔπεσεν ς*) *επι τους θεωρουντας* (*των θεωρουντων C*) *αυτους ACvς*, quicunque eos viderunt pertimuerunt *h* 3. *καὶ ἤκουσαν* ... 5. *αὐτῶν om h* 3. *φωνην μεγαλην Aς, φωνης μεγαλης C* 4. *λεγουσαν Aς, λεγουσης C* *αυτοις Cvς, om A* *αναβατε AC, Ἀνάβητε ς* 6. *σισμος μεγας ACvς*, magnus terrae motus *h* *και το Ahvς, ωστε το C* 7. *ονοματα ACvς*, numero *h* *ανθρωπων χιλιαδες επτα ACς*, septem millia hominum *h* 8. *ενφοβοι C.* in timorem sunt missi *hv* 9. *ουρανου ACvς, add* et terrae *h* *ιδου ACς*, et ecce *h* venit *vel* veniet *h* 11. *ο Cς, om A* 11. 12. *φωναι μεγαλαι εν τω ουρανω ACvς*, in caelo voces magnae *h* 12. *λεγοντες A, λεγουσαι Cς* *εγενετο η βασιλεια AChv, Ἐγένοντο αἱ βασιλεῖαι ς* 12. 13. *του κοσμου του κυριου ACvς*, dei *h*

post dies tres et dimidium spiritus uitae a deo intrauit (-bit) in eos, et steterunt super pedes suos, et timor magnus cecidit (accidit *F*) super eos qui uiderunt (uidebant) eos. [12]et audierunt uocem magnam de caelo dicentem illis Ascendite huc, et ascenderunt in caelum in nube (nubae *pr L*), et uiderunt illos (eos *F*) inimici eorum. [13]et in illa hora factus est terrae motus magnus, et decima pars ciuitatis cecidit, et occisi (occisa *F*) sunt in (de *F*) terrae motu (moto *pr F*) nomina hominum septem (VII *F*) milia. et reliqui in timore (timorem *L*) sunt missi et dederunt gloriam deo caeli. [14]uae secundum abiit (habiit): [et *om F al*] ecce (*om F*) uae tertium ueniet cito. (11) [15]Et septimus angelus tuba cecinit, et factae sunt uoces magnae in caelo, dicentes Factum est regnum huius (uius) mundi domini nostri et [Iesu *F*] Christi eius, et regnabit (-uit *L al*) in saecula

νας τῶν αἰώνων. 16 καὶ εἴκοσι τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν ἔπεσαν ἐπὶ τὰ πρόσωπα αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ 17 λέγοντες Εὐχαριστοῦμέν σοι, κύριε ὁ θεὸς ὁ παντοκράτωρ ὁ ὢν καὶ ὁ ἦν, ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην καὶ ἐβασίλευσας, 18 καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου καὶ ὁ καιρὸς τῶν νεκρῶν κριθῆναι καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου, τοῖς προφήταις καὶ τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ διαφθεῖραι τοὺς διαφθείραντας τὴν γῆν. 19 καὶ ἠνοίγη ὁ ναὸς τοῦ θεοῦ ὁ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ, καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ καὶ σεισμὸς καὶ χάλαζα μεγάλη.

1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ, γυνὴ περιβεβλημένη

1. *εικοσι ACh v Cypr* 312, *οἱ εἴκοσι καὶ ς* 1. 2. *ενωπιον* (*οι εν. Cς*, qui in consp. *hv*) *του θεου AChvς*, in conspectu *Cypr* 2. *καθημενοι Aς Cypr*, sedent *hv*, *καθηνται C* in sedibus (thronis *Cypr*) *hv Cypr* supra (in *hv*) facies *hv Cypr* 4. *ο ην ACvς*, qui (om *h*) fuisti *h Cypr*, *add και C*, *add καὶ ὁ ἐρχόμενος ς* *ειληφας* (*-φες C*) *ACvς Cypr*, *post* magnam *h* 6. *καιρος Ahvς Cypr* 312, *κληρος C* 6. 7. *των νεκρων κριθηναι και δουναι τον μισθον A Chς*, quo de mortuis iudicetur et detur merces *Cypr* 7. *σου AC vς Cypr*, *om h* 7. 8. *και τοις αγιοις και* (*om Cypr*) *Cv Cypr*, *και τους αγιους και A*, et *h* 8. *τοις φοβουμενοις Chvς Cyprian* 312, *τους φοβουμενους A* 8. 9. *τους μικρους και τους μεγαλους και* (*om A*) *AC*, *τοῖς μικροῖς καὶ τοῖς μεγάλοις καὶ hvς Cypr* 9. *τους διαφθειραντας* (*διαφθειροντας Aς*) *την γην ACvς Cypr*, qui terram corruperunt *h* *Iren* 252 10. *ο εν AC*, *ἐν hvς* *ωφθη Ahvς*, *εδοθη C* 13. *και σημειον ACvς*, signum autem *h* *ωφθη ACvς*, visum *h* *περιβεβλημενη Chvς*, *περιβλεπομε.. A*

saeculorum. 16 et uiginti quattuor (xxiiii *F al*) seniores, qui in conspectu dei sedent in sedibus suis, ceciderunt in facies suas et adorauerunt deum 17 dicentes Gratias agimus tibi (t. a. *L al*), domine deus omnipotens, qui es et qui eras, [et *F*] quia (qui) accepisti uirtutem tuam magnam et regnasti, 18 et iratae sunt gentes, et aduenit ira tua et tempus mortuorum iudicari (iudicare *F al*) et reddere mercedem seruis tuis (s. t. m.), prophetis et sanctis et timentibus nomen tuum, pusillis et magnis, et exterminandi eos qui corruperunt terram. (12) 19 Et apertum est templum dei in caelo, et uisa est arca testamenti eius in templo eius, et facta sunt fulgora (fulgura) et uoces et terrae motus et grando magna. 1 et signum magnum apparuit (pa-

τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα, [2]καὶ ἐν γαστρὶ ἔχουσα, καὶ ἔκραζεν ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν. [3]καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων πυρρὸς μέγας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα, [4]καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν. καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς καταφάγῃ. [5]καὶ ἔτεκεν υἱὸν ἄρσεν, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ. [6]καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει τόπον ἡτοιμασμένον ἀπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα. [7]καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ, ὅ τε Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ τοῦ πολε-

1. 2. in capite *hv* 2. *εν γαστρι εχουσα ACvς*, erat praegnans *h* 3. *και εκραζεν Ch, κραζει Aς* *ὠδίνουσα . . . τεκεῖν om h* *ωδινουσα Cvς, και ωδινουσα A* 4. *δραχων A?* *πυρος* (rufus) *μεγας Ch, μεγας πυρρος Avς* 5. *αυτου Chvς, αυτων A* *επτα διαδηματα ACv, διαδήματα ἑπτὰ hς* 6. *συρει ACς*, trahebat *hv* *αστρων C* *του ουρανου AChvς, om Iren* 164 7. deiecit *h* (*Iren*) *εστηκεν Ahvς, εστηκει C* 9. *υιον αρσεν* (*ἄῤῥενα ς*) *A Cς*, masculum *h* *μελλει ποιμαινειν ACς*, recturus erat *h* 10. *εν Ahvς, om C* 11. *και προς AChv, καὶ ς* 12. *εχει Chvς, add εκει A* 12. 13. *εκει τρεφωσιν* (*-φουσιν C*) *αυτην ACvς*, eam illic alat *h* 13. *πολεμος ACς*, praelium *h* 14. *ο τε A, ο Cς, om hv* angelis *h* 14. *seq του πολεμησαι μετα ACh, ἐπολέμησαν κατὰ ς*

ruit *L*) in caelo, mulier amicta sole, et (*om al*) luna (lune) sub pedibus eius, et in capite eius corona (coronam *pr F*) stellarum duodecim, [2]et in utero habens, et clamabat (*sic F*, clamans *L*, clamauit, clamat) parturiens, et cruciatur ut pariat (pareat *L*). [3]et uisum est aliud (alium) signum in caelo, et ecce draco magnus rufus, habens capita septem (qı *al*) et cornua decem et in (*om al*) capitibus suis (eius *F*) septem diademata (diadim.), [4]et [in] cauda eius trahebat (traebat) tertiam partem stellarum caeli, et misit eas in terram. et draco (dracho *F*) stetit ante mulierem quae erat paritura, ut cum peperisset filium eius deuoraret. [5]et peperit filium masculum, qui recturus erit (erat) omnes gentes in uirga ferrea: et raptus est filius eius ad deum et ad thronum eius. [6]et mulier fugit (fugiat) in solitudinem, ubi habet (habebat *F al*) locum paratum a deo, ut ibi pascant illam diebus mille ducentis sexaginta (quadrag.). (13) [7]et factum est proelium in caelo: Michahel (Micahel *F*, Michael) et angeli eius

μῆσαι μετὰ τοῦ δράκοντος. καὶ ὁ δράκων ἐπολέμησεν καὶ οἱ ἄγγελοι αὐτοῦ, [8]καὶ οὐκ ἴσχυσαν, οὐδὲ τόπος εὑρέθη αὐτῶν ἔτι ἐν τῷ οὐρανῷ. [9]καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος καὶ ὁ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν. [10]καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ λέγουσαν Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ θεοῦ ἡμῶν καὶ ἡ ἐξουσία τοῦ χριστοῦ αὐτοῦ, ὅτι ἐβλήθη ὁ κατήγωρ τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτοὺς ἐνώπιον τοῦ θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός. [11]καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν, καὶ οὐχ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου. [12]διὰ τοῦτο εὐφραίνεσθε, οἱ οὐρανοὶ καὶ οἱ

2. *ισχυσαν Chvς, ισχυσεν A* *ουδε AC, οὔτε ς* *ευρεθη ACvς, post* caelo *h* 3. ille draco *h* *ο μεγας ο οφις ACvς,* serpens magnus et *h* *καλουμενος ACvς,* dicitur *h* 4. sathanas *h* universum orbem terrarum (om *v*) *hv* 5. *εβληθησαν ACvς, add* in terram *h* 6. *εν τω ουρανω λεγουσαν AChv, λέγουσαν ἐν τῷ οὐρανῷ ς* 8. *χριστου Ahvς, κυριου C* dictum est enim Aut nescis quia adest diabolus accusator fratrum vestrorum *Hilar* 247. scriptura in apocalypsi calumniatorem eum esse testante *Hilar* 338 *εβληθη AC, κατεβλήθη ς,* praecipitatus est *h* *κατηγωρ A, κατηγορος Cς* 9. *αυτους A, αυτων Cς* 9. 10. *ημερας και νυκτος ACvς,* diebus ac noctibus *h* 10. *και αυτοι ενικησαν αυτον ACvς,* exsuperatus est ab ipsis *h* 11. *τον λογον της μαρτυριας Ahvς, την μαρτυριαν C* *ουχ A, ουκ Cς* amaverunt *h* 12. *οι ουρανοι Aς, ουρανοι C*

proeliabantur cum dracone (drachone *V*, drachonem *pr F*). et draco (dracho *F*) pugnabat et angeli eius, [8]et non ualuerunt, neque locus inuentus est eorum amplius (*sic F*, a. e. *L al*, eorum *al*) in caelo. [9]et proiectus est draco (dracho *F*) ille magnus, serpens antiquus (anticus), qui uocatur diabolus (diabulus) et satanas, qui seducit (seducet *L al*) uniuersum orbem, [et] proiectus est in terram (terra), et angeli eius cum illo missi sunt. [10]et audiui uocem magnam in caelo dicentem Nunc facta est salus et uirtus et regnum dei (domini *L al*) nostri et potestas Christi eius, quia proiectus est accusator fratrum nostrorum, qui accusabat illos ante conspectum dei (domini *L al*) nostri die ac nocte. [11]et ipsi uicerunt illum propter sanguinem agni et propter uerbum testimonii sui, et non dilexerunt animam suam (animas suas *F*) usque ad mortem. [12]propterea (-ria) laetamini, caeli

ἐν αὐτοῖς σκηνοῦντες· οὐαὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει.

[13]*Καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐδίωξεν τὴν γυναῖκα ἥτις ἔτεκεν τὸν ἄρσεναν.* [14]*καὶ ἐδόθησαν τῇ γυναικὶ αἱ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπου τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως.* [15]*καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμόν, ἵνα αὐτὴν ποταμοφόρητον ποιήσῃ.* [16]*καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιεν τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ.* [17]*καὶ ὠργίσθη ὁ δράκων τῇ γυναικί, καὶ ἀπῆλθεν ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ*

1. *εν αυτοις σκηνουντες (κατασκην. C) ACς*, habitatis in eis *hv* *την γην (αγαπην A) AC*, vobis terra *h*, *τοῖς κατοικοῦσι τὴν γῆν ς* mare *h* 2. *ο διαβολος προς υμας ACvς*, ad vos diabolus *h* cum ira ingenti *h* 2. 3. *οτι ολιγον καιρον εχει ACvς*, modicum sibi tempus superesse *h* 5. *ετεκεν τον αρσεναν* (*αρσενα C*, *ἄῤῥενα ς*) *ACvς*, illum masculum pepererat *h* 5. 6. *αι* (*om ς*) *δυο πτερυγες ACvς*, duae alae quasi *h* 7. *εκει Aς*, *εκαι C*, *om hv* per tempus *hv* 7. 8. *και ημισυ καιρον Ahvς*, *om C* 8. *προσωπου του οφεως ACvς*, antichristi facie *h* *εβαλεν Cvς et rec A*, misit ille *h*, *ελαβεν pr A* 8. 9. *εκ του στοματος αυτου οπισω της γυναικος AChv*, *ὀπίσω τῆς γυν. ἐκ τοῦ στ. αὐτοῦ ς* 9. in modum fluminis *h* 10. *αυτην* (*ταύτην ς*) *ποταμοφορητον ποιηση Aς*, *ποιηση αυτην ποτ. C*, eam perderet *h* *και ACvς*, sed *h* 11. *τον ποταμον ον Chvς*, *το υδωρ ο A* 11. *εβαλεν ACvς*, emiserat *post* ex ore suo *h* *ωργισθη ACvς*, iratus *h* *ο δρακων Ch*, *add επι Aς* 13. *και ACvς*, *om h*

et qui habitatis in eis: uae terrae et mari, quia descendit (disc.) diabolus (-bul.) ad uos habens iram magnam (ira magna *pr F*), sciens quod modicum tempus habet. [13]et postquam uidit draco (dracho *F*) quod proiectus est (esset *F*) in terram, [et *L*] persecutus est mulierem quae peperit masculum. [14]et datae sunt mulieri duae alae (d. a. m. *L*?) aquilae magnae, ut uolaret in desertum in (*om al*) locum suum, ubi alitur (aletur) per tempus et tempora et dimidium temporis a facie serpentis. [15]et misit serpens ex ore suo post mulierem aquam (aq. p. m. *F*) tamquam flumen, ut eam faceret trahi a flumine. [16]et adiuuit terra (et audiuit terram) mulierem, et aperuit terra (terram) os suum et absorbuit (obsorb.) flumen quod misit draco (dracho *F*) de ore suo. [17]et iratus est draco (dracho *F*) in mulierem, et abiit (habiit) facere proelium cum reliquis de semine

σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ, [18]καὶ ἐστάθη ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης. [1]καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κέρατα δέκα καὶ κεφαλὰς ἑπτὰ καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας. [2]καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος. καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην. [3]καὶ μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον, καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη. καὶ ἐθαυμάσθη ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου, [4]καὶ προσεκύνησαν τῷ δράκοντι, ὅτι ἔδωκεν τὴν ἐξουσίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τῷ θηρίῳ λέγοντες Τίς ὅμοιος τῷ θηρίῳ, καὶ τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ; [5]καὶ

1. *τας εντολας ACvς*, praeceptum *h* 2. *ιησου ACv*, *add χριστοῦ hς* *εσταθη ACh v*, *ἐστάθην ς* 3. *εκ της θαλασσης θηριον αναβαινον* (*sic rec A*, *διαβ.* pr *A?*) *ACvς*, bestiam ascendentem de mari *h* 3. 4. *κερατα δεκα και κεφαλας επτα ACh*, *κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα vς* *δεκα ACvς*, om *h* 5. *ονοματα Ahv*, *ονομα Cvς* 6. *ην ομοιον ACς*, similis erat *hv Iren* 326 *αρκου AC*, *ἄρκτου ς* 8. *μεγαλην*] *add εδωκεν αυτω corr A* 9. *και AChv Iren*, *add εἶδον vς* *εκ* (*om ς*) *των κεφαλων αυτου ACvς Iren*, caput ex septem capitibus *h* *εσφαγμενην εις ACvς Iren*, occisum fuerit ad *h* 10. 11. *και εθαυμασθη* (*εθαυμαστωθη C*, *ἐθαύμασεν ς*) *ολη η γη οπισω του θηριου ACvς Iren* 326, mirata terra secuta est bestiam *h* 11. *τω δρακοντι AC*, *τὸν δράκοντα ς* *οτι ACv Iren*, eo quod *h*, *ὃς ς* 12. *την* (*om ς*) *εξουσιαν ACvς Iren*, omnem potestatem suam *h* *και ACvς Iren*, iterum *h* *τω θηριω alterum C*, *το θηριον Aς* 13. *τω θηριω ACvς*, illi bestiae *h*, b. illi *Iren* 326 *και AChv Iren*, om *ς* *δυναται ACς Iren*, poterit *hv*

eius, qui custodiunt mandata dei et [qui *L*] habent testimonium Iesu, [18]et stetit supra (super) harenam (ar., -na *pr F al*) maris. [1]et uidi de mari bestiam ascendentem, [et *L*] habentem capita septem (VII *F*) et cornua decem, et super cornua eius decem diademata (diadim.), et super capita eius nomina (nomen *F*) blasphemiae (blasphim.). [2]et bestiam (bestia) quam uidi, similis erat pardo, et pedes eius sicut ursi, et os eius sicut os leonis. et dedit illi draco (dracho *F*) uirtutem suam et potestatem magnam. [3]et [uidi *F al*] unum de capitibus suis (eius *F al*) quasi occisum in mortem (morte *V al*), et plaga mortis eius curata est. et admirata (ammir. *L al*) est uniuersa terra post bestiam, [4]et adorauerunt draconem (drach. *F*), quia dedit potestatem bestiae, et adorauerunt bestiam dicentes Quis similis bestiae, et quis poterit pugnare cum ea? [5]et datum est ei os loquens

ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλάσφημα, καὶ ἐδόθη αὐτῷ ἐξουσία ποιῆσαι μῆνας τεσσεράκοντα [καὶ] δύο. 6καὶ ἤνοιξεν τὸ στόμα αὐτοῦ εἰς βλασφημίας πρὸς τὸν θεόν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ καὶ τὴν σκηνὴν αὐτοῦ, τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας. 7καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ λαὸν καὶ γλῶσσαν καὶ ἔθνος. 8καὶ προσκυνήσουσιν αὐτὸν πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, οὗ οὐ γέγραπται τὸ ὄνομα αὐτοῦ ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου. 9Εἴ τις ἔχει οὖς, ἀκουσάτω. 10εἴ τις εἰς αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν

1. βλασφημα *A*, βλασφημιας *Cς*, blasphemiam *Iren* 2. ποιησαι *AChv*, πόλεμον ποιῆσαι *ς*, om *Iren* τεσσερακοντα *AC*, τεσσαρ. *ς* και δυο *Av Iren*, δυο *Chvς* και ηνοιξεν *ACvς Iren* 326, aperuit autem *h* 2. 3. το στομα αυτου εις βλασφημιας (-μίαν *ς*) *ACς*, os suum blasphemum *Iren*, in blasphemia os suum *h* 3. βλασφημησαι *ACvς Iren*, in blasphemandum *h* 4. και την σκηνην αυτου (add καὶ *hvς Ir*) *Ahvς Iren*, om *C* σκηνουντας *AC Iren* 326, add καὶ ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι (potestas faciendi bellum *h*) μετὰ τῶν ἁγίων καὶ νικῆσαι (vicit *h*) αὐτούς *hvς* 5. super (in *hv*) omnem *hv Iren* και λαον (λαους *C*) *AChv Iren*, om *ς* 6. προσκυνησουσιν *ACς*, adoraverunt *h Iren* 326 αυτον *AC*, αὐτῷ *ς*, eam *Iren*, eum *h* 7. ου ου (ὧν οὐ *vς*, ουαι *A*) γεγραπται το ονομα (τὰ ὀνόματα *vς*) *ACvς Iren*, quorum nomina non sunt scripta *h* αυτου *AC*, om *hvς Iren* τω (om *C*) βιβλιω *AC*, τῇ βίβλῳ *ς* του *alterum AC*, om *ς* απο *ACvς Iren* 326, qui est ab *h* ει *Ahvς Iren*, η *C* 9. ους *ACς*, aures *h Iren* 9. *seq* ει τις εις (om *ς*) αιχμαλωσιαν (*add* συνάγει *ς*, duxerit *Iren v*, om *Av*) εις αιχμαλωσιαν υπαγει (ibit) *Aς Iren*, qui captivum duxerit et ipse capietur *h*, η τις εις αιχμαλωσιαν υπαγει *C*

(ei loqui *F*) magna et (*om L*) blasphemiae (-mia), et data est illi potestas facere menses quadraginta duos (et duo *F*). 6et aperuit os suum in blasphemias (-mia *L*) ad deum, blasphemare nomen eius et tabernaculum eius et eos qui in caelo habitant. 7et datum est illi bellum facere cum sanctis et (*om al*) uincere illos, et data est ei potestas in omnem tribum (omni tribu) et populum et linguam et gentem. 8et adorabunt (-uerunt) eum (eam) omnes qui inhabitant (habit. *L al*) terram, quorum non sunt scripta (scribta *pr F*) nomina in libro uitae agni qui occisus est ab origine mundi. 9siquis habet aurem (aures *F*), audiat. 10qui in captiuitatem (-te) [duxerit *om F al*], in

ὑπάγει· εἴ τις ἐν μαχαίρῃ ἀποκταίνει, δεῖ αὐτὸν ἐν μαχαίρῃ ἀποκτανθῆναι. ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

[11]Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχεν κέρατα δύο ὅμοια ἀρνίῳ καὶ ἐλάλει ὡς δράκων. [12]καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ. καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ἵνα προσκυνήσουσιν τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. [13]καὶ ποιεῖ σημεῖα μεγάλα, ἵνα καὶ πῦρ ποιῇ ἐκ τοῦ οὐρανοῦ καταβαίνειν εἰς τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων. [14]καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόναν τῷ

1. *ει* (*η C*) *τις εν ACς*, si quis *Iren*, et qui *h* *μαχαιρη AC*, *μαχαίρᾳ ς* *αποκτενει* (occiderit) *δει αυτον Cvς Iren* 326, occiderit et ipsum oportet *h*, *αποκτανθηναι αυτον A* *εν ACς Iren*, *om h* *μαχαιρη alterum AC*, *μαχαίρᾳ ς* 3. *αναβαιννον C* *και ειχεν ACvς*, habentem *h* 4. *ομοια* (*ονομα C*) *αρνιω ACς*, similia agni *hv* 5. *πρωτου ACς Iren*, prioris *hv* *ποιει ACς*, faciebat *hv Iren* *ενωπιον αυτου και ποιει την γην ACvς Iren*, in terra *h* 6. *και τους κατοικουντας εν αυτη ινα C Iren*, *και τους εν αυτη κατοικουντας ινα Aς*, ut habitantes terram *h* *προσκυνησουσιν AC*, *προσκυνήσωσι ς* 6. 7. *το πρωτον ACvς Iren*, illam priorem *h* 7. *του θανατου αυτου Cς Iren* 326, mortis *hv*, *αυτου A* *ποιει ACς*, fecit *h*, faciet *Iren* 8. *μεγαλα ινα ACvς Iren*, ita ut *h* *εκ του ουρανου καταβαινειν* (*-βαιννιν C*) *AChv Iren*, *καταβαίνειν ἐκ τοῦ οὐρανοῦ ς* 8. 9. *εις την γην ACvς Iren*, *om h* 9. *πλανα ACς*, seduxit *h*, seducet *Iren* 326 10. super terram *Iren*, terram *h* 11. *λεγων τοις κατοικουσιν επι της γης ACvς*, et dicit incolis terrae *h* 11 - *p.* 666, 2. et imaginem iubebit fieri bestiae et spiritum dabit imagini uti et loquatur etc *Iren* 326 *ποιησαι* (*ποιησ̄ C*) *εικοναν* (*-να Cς*) *τω θηριω ος* (*ὃ ς*) *ACvς*, ut imaginem bestiae faciant quae *h*

captiuitatem uadit (-det) (u. in c. *L*): qui in gladio occiderit, oportet eum [in *F*] gladio occidi. hic (hec) est patientia et fides sanctorum. (14) [11]Et uidi aliam bestiam ascendentem de terra, et habebat cornua duo similia agni et loquebatur sicut draco (dracho *F*) [12]et potestatem prioris bestiae omnem faciebat in conspectu eius. et facit (fecit *L al*) terram et inhabitantes (habit. *L al*) in ea (in eam *L*) adorare bestiam primam, cuius curata est plaga (placa) mortis. [13]et fecit (facit *F*) signa magna, ut etiam ignem (-ne *pr F*) faceret (-rent) de caelo descendere in terram in conspectu (-ctum *L*) hominum. [14]et seducit (-cet *L*) habitantes terram (terrae, in terra) propter signa quae data sunt illi facere in conspectu bestiae, dicens habitantibus in terra

θηρίῳ ὃς ἔχει τὴν πληγὴν τῆς μαχαίρης καὶ ἔζησεν. [15]καὶ ἐδόθη αὐτῇ δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιήσῃ ἵνα ὅσοι ἐὰν μὴ προσκυνήσωσιν τὴν εἰκόνα τοῦ θηρίου ἀποκτανθῶσιν. [16]καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχούς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δῶσιν αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς ἢ ἐπὶ τὸ μέτωπον αὐτῶν, [17]ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα τοῦ ὀνόματος τοῦ θηρίου ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. [18]Ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων νοῦν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου·

1. *της μαχαιρης* (*-ρας* ς) *ACνς*, factam de gladio *h*   *εδοθη*] *sic pr? corr C, εδοθ pr C*   2. *αυτη AC, αὐτῷ* ς   *δουναι Ahνς, om C*   2. *τοῦ θηρίου* .... 3. *τὴν εἰκόνα om C*   2. illius bestiae *h*   2. 3. *ινα και λαληση η εικων του θηριου* (*om Iren*) *Aνς Iren* 326, et ut imago bestiae loqueretur *h*   3. *ποιηση Aς, om Iren*   *ινα οσοι εαν A*, ut qui *vel* quicunque *h*, *ὅσοι ἂν* ς, eos qui *Iren*   3. 4. *την εικονα του θηριου Ahς*, eam *Iren*   4. *αποκτανθωσιν A Ch, ἵνα ἀποκτ.* ς, faciet occidi *Iren* 326   4-8. et characterem autem, ait, in fronte et in manu dextra faciet dari ut non possit aliquis emere *etc Iren*   4. *ποιει ACς*, fecit *h*   4. 5. *μικρους και τους μεγαλους ACνς*, magnos et pusillos *h*   5. 6. *καὶ τοὺς πτωχοὺς καὶ τοὺς ἐλευθέρους om h*   6. *ινα δωσιν* (*δώσῃ* ς) *αυτοις χαραγμα ACς*, habere notam *h*   6. 7. *επι της χειρος αυτων της δεξιας η επι το μετωπον* (*του μετωπου C, τῶν μετώπων* ς) *αυτων ACς*, in dextera manu aut in frontibus *h*   7. *ινα Ch Iren* 316, *και ινα Aνς*   7. 8. *τις δυνηται* (*add* quicquam *h*) *AChνς*, possit aliquis *Iren*   8. *ὁ ἔχων*] *τεχων C*   *του ονοματος Ch Iren, το* (*ἢ τὸ* ς) *ονομα Aς*   9. 10. *η σοφια εστιν ACνς*, est sapientia *h*   10. *νουν AC, τὸν νοῦν* ς   *φισατω C*

(-am *F*) ut faciant imaginem bestiae quae habet plagam gladii (gradiae) et uixit. [15]et datum est illi ut daret spiritum imagini bestiae, ut et (*om al*) loquatur imago bestiae, et faciat (-et *F al*) ut (*om L*) quicumque non adorauerit imaginem bestiae occidatur. [16]et faciet omnes, pusillos et magnos et diuites et pauperes et liberos et seruos, habere character (car. *F*, -erem *unus*) in dextra (dextera) manu aut in frontibus suis, [17]et nequis possit (posset) emere aut uendere, nisi qui habet character (car. *F*) nominis (nomine *L*, nomen) bestiae aut numerum nominis eius. [18]hic sapientia est. qui habet intellectum, conputet numerum bestiae: numerus enim hominis est. et numerus

ἀριθμὸς γὰρ ἀνθρώπου ἐστίν. καὶ ὁ ἀριθμὸς αὐτοῦ ἑξακόσιοι ἑξή-
κοντα ἕξ.
[1]Καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστὸς ἐπὶ τὸ ὄρος Σιών, καὶ
μετ' αὐτοῦ ἑκατὸν τεσσεράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα
αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν με-
τώπων αὐτῶν. [2]καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδά-
των πολλῶν καὶ ὡς φωνὴν βροντῆς μεγάλης, καὶ ἡ φωνὴ ἣν ἤκουσα
ὡς κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. [3]καὶ ᾄδου-
σιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσά-

1. ἑξακόσιοι δεκαέξ.

1. *αριθμος γαρ ανθρωπου* **ACvς**, hominis enim numerus *h* *αυτου* **Aς**, ***add*** *εστιν* **Cv**, ***om*** *h* 1. 2. *εξακοσιοι εξηκοντα εξ* **Ah**, *χξς'* *ς*, *χξ'* **Orig** 3,414^{a}, *εξακοσια δεκα εξ* **C**. et esse numerum sexcentos sexaginta sex **Iren** 326. *ἐν πᾶσι τοῖς σπουδαίοις καὶ ἀρχαίοις ἀντιγράφοις* (in omnibus antiquis et probatissimis et veteribus scripturis) *τοῦ ἀριθμοῦ τούτου κειμένου — ἐσφάλησάν τινες ἐπακολουθήσαντες ἰδιωτισμῷ καὶ τὸν μέσον ἠτέθησαν* (frustrantes) *ἀριθμὸν τοῦ ὀνόματος ν' ψήφισμα* (numeros) *ἀφελόντες καὶ* (deducentes) *ἀντὶ τῶν ἓξ δεκάδων μίαν δεκάδα βουλόμενοι εἶναι* ***idem*** 328 3. *ειδον και ιδου* **ACvς Orig** 4,2^{a}, ecce vidi *h*, vidi **Cypr** 294 *το αρνιον εστος* (*ἑστὼς* **Or**) **AC Orig**, *ἀρνίον ἑστηκὸς* *ς* *επι το ορος σιων* **Avς**, in monte sion ***h* Cypr**, *επι ορος* **C** 4. *τεσσερακοντα* **AC**, *τεσσαράκ.* *ς*. *ρμδ' χιλιάδες* **Orig** *εχουσαι* **ACς Orig**, et habent (habebant **Cypr**) ***h* Cypr** 5. *αυτου και το ονομα* **AChv Orig** 4,2^{a} **Cypr** 294, *τοῦ ἀρνίου καὶ* **Orig** 4,2^{d} ***et add*** *τὸ ὄνομα* **Orig** 4,2^{d} ***bis***, ***om*** *ς* *γεγραμμενον* **Cς Orig**, *το γεγρ.* **A** in frontibus ***hv* Cypr** 6. *ως φωνην* **ACvς Orig** 4,2^{a}, quasi sonum *h* 7. *και ως φωνην βροντης μεγαλης* **ACvς Orig**, aut magni tonitrui *h* *η φωνη ην* **ACh Orig**, *φωνήν·* *ς* 8. *ως* **AChv Orig**, ***om*** *ς* *κιθαρωδων*] ***sic correcto priori ω* A** *εν ταις κιθαραις αυτων* (***om*** **C**) **ACvς Orig** 4,2^{a}, ***om*** *h* *αδουσιν* **ACς Orig**, cantabant *hv* 9. *ως* (***om* Orig**) *ωδην καινην* **ACvς Orig**, novum canticum *h*

eius (*om al*) est sescenti (sexc.) sexaginta sex [dclx. vi. *F*). [Teitan *V in margine.*] (15) [1]Et uidi, et ecce agnus stabat supra (super *F*) montem Sion, et cum illo (eo *F*) cxliiii milia habentes nomen eius et nomen patris eius scriptum (scribtum *F*) in frontibus suis. [2]et audiui uocem de caelo tamquam uocem aquarum multarum et (tamquam-et *om al*) tamquam uocem tonitrui (thon. *F*) magni, et uocem quam audiui sicut citharoedorum (cithared. *F*, citharizorum) citharizantium in citharis suis. [3]et cantabant quasi canticum nouum ante sedem et ante quattuor animalia et seniores: et nemo poterat

ρων ζῴων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἐδύνατο μαθεῖν τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσεράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. 4*οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν. οὗτοι οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγει. οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ,* 5*καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμωμοί εἰσιν.*

6*Καὶ εἶδον ἄλλον ἄγγελον πετόμενον ἐν μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον εὐαγγελίσαι ἐπὶ τοὺς καθημένους ἐπὶ τῆς γῆς καὶ ἐπὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν,* 7*λέγων φωνῇ μεγάλῃ Φοβήθητε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν*

1. *και των πρεσβυτερων Ahvς Orig* 4,2[a], *om C* *εδυνατο AC Orig*, *ἠδύνατο ς* *μαθειν ACς Orig*, dicere *hv* 2. *αἱ*] illa *h* *ρμδ' χιλιάδες Orig* 4,2[b] *τεσσερακοντα AC. τεσσαρακοντατέσσαρες ς* *τέσσαρες om C* 3. *απο της γης ACς Orig*, de terris *h* *ουτοι εισιν Chvς Orig Cypr* 174 316, *om A* se non coinquinaverunt *h Cypr* 4. *εισιν ACvς Orig* 4,2[bd], permanserunt *h Cypr* *ουτοι AC Orig*, *add εἰσιν hvς Cypr* 5. *αν ACς*, *ἐὰν Orig* 4,2[b] *υπαγει ACh*, *ὑπάγῃ ς Orig*, ierit *Cypr* *απο των ανθρωπων Aς Orig*, 4,2[b] 3[a], *om C* 6. *ψευδος ACv Orig*, *δόλος ς* 7. *εισιν AC*, *γάρ εἰσιν Orig et add ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ ς* 8. *αλλον ACς Cypr* 264 312, *om Orig* 4,16[a] *πετομενον AC Orig*, *πετώμενον ς* in medio caelo *Cypr* 264, per medium caelum *v Cypr* 312 9. *ευαγγελισαι* (*-λίσασθαι Orig*) *ACς Orig* 4,16[b] *Cypr* 312, ut annuntiaret *Cypr* 264 *επι* (*om Or*) *τους καθημενους C Orig*, sedentibus *v Cypr* 312, *επι* (*om ς*) *τους κατοικουντας Aς*, *om Cypr* 264 10. *επι* (*om ς*) *παν εθνος ACvς Orig*, super (in 312) omnes nationes *h Cyprian* 264 312 *φυλην* (*φυλακὴν Orig*) *και γλωσσαν και λαον ACvς Orig* 4,16[b], tribus et linguas et populos *Cypr* *λεγων AC*, *λέγοντα ς Orig Cypr*, *add εν Cς Orig*, *quod om A Cypr* 11. *φοβηθητε ACvς Orig*, metuite potius *h Cypr*

dicere canticum, nisi illa centum quadraginta quattuor milia, qui empti sunt de terra. 4hi sunt qui cum mulieribus non sunt coinquinati: uirgines enim sunt. hi [sunt *F al*] qui sequuntur (secuntur *L*) agnum quocumque ierit (abierit *L al*). hi empti (emti *L*) sunt ex hominibus (*sic L*, omnibus *ceteri*) primitiae deo et agno, 5et in ore ipsorum (eorum *L*) non est inuentum mendacium: sine macula sunt [enim ante thronum dei *L*]. 6et uidi alterum angelum uolantem per medium caelum, habentem euangelium aeternum, ut euangelizaret sedentibus super terram et super omnem gentem et tribum et linguam et populum, 7dicens (dicentem *L al*) magna uoce Timete deum (dominum)

1. *αι Cς*, *om A* 2. *εκρινεν την πορνην την μεγαλην ACς*, sic (*om v*) iudicavit de meretrice magna *hv* *εφθειρεν Chvς*, *εκρινεν A* 2. 3. *εν τη πορνεια ACvς*, per fornicationem *h* 3. *χειρος AC*, *τῆς χειρὸς ς*, manibus *hv* 4. *ειρηκαν Aς*, *ειπαν C* *αυτης AC vς*, de illa *h* 5. *επεσαν AC*, *ἔπεσον ς* 5. 6. *εικοσι τεσσαρες πρεσβυτεροι Ah*, *πρεσβυτεροι οι εικοσι* (*add καὶ ς*) *τεσσαρες Cvς* 6. *τεσσερα AC*, *τέσσαρα ς* 7. *επι* (in *h*) *τω θρονω ACh*, *ἐπὶ τοῦ θρόνου ς* *αλληλουια ACvς*, *om h* 8. *απο* (*ἐκ vς*) *του θρονου εξηλθεν ACvς*, exivit de caelo *h* *τω θεω AC*, *τὸν Θεὸν ς* *ημων ACvς*, vestrum *h* 9. *και Ahvς*, *om C* *αυτον* (*add καὶ ς*) *ACvς*, deum *h* 10. *ως φωνην οχλου πολλου Aς*, vocem turbarum magnarum *h* *και φωνην A*, *καὶ ὡς φωνὴν hvς* 10. 11. *υδατων πολλων και ως φωνην βροντων ισχυρων Avς*, tonitruum fortium et quasi sonum aquarum multarum *h* 12. *ο θεος Aς Cypr 293*, *om h* 12. *seq αγαλλιωμεν A*, *ἀγαλλιώμεθα ς*

uirtus deo nostro est, 2 quia uera et iusta iudicia sunt eius (e. s.) quia (qui *L al*) iudicauit de meretrice magna, quae (qui) corrupit terram in prostitutione sua, et uindicauit sanguinem (-ne) seruorum suorum de manibus eius (tuis *L*). 3 et iterum dixerunt Alleluia, et fumus eius (*om al*) ascendit in saecula saeculorum. 4 et ceciderunt seniores XXIIII et quattuor animalia, et adorauerunt deum sedentem super thronum, dicentes Amen, alleluia. 5 et uox de throno exiuit dicens Laudem dicite deo nostro, omnes [gentes] serui eius et qui timetis eum, pusilli et magni. 6 et audiui quasi uocem tubae magnae et sicut uocem aquarum multarum et sicut uocem tonitruum (thon. *F*, -uorum *L*) magnorum, dicentium Alleluia, quoniam regnauit dominus deus noster omnipotens. 7 gaudeamus et exultemus et demus gloriam ei (dei), quia

λιῶμεν, καὶ δώσομεν τὴν δόξαν αὐτῷ, ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν, [8]καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον λαμπρὸν καθαρόν. τὸ γὰρ βύσσινον τὰ δικαιώματα τῶν ἁγίων ἐστίν. [9]καὶ λέγει μοι Γράψον Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι. καὶ λέγει μοι Οὗτοι οἱ λόγοι οἱ ἀληθινοὶ τοῦ θεοῦ εἰσίν. [10]καὶ ἔπεσα ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ. καὶ λέγει μοι Ὅρα μή· σύνδουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ· τῷ θεῷ προσκύνησον. ἡ γὰρ μαρτυρία Ἰησοῦ ἐστὶν τὸ πνεῦμα τῆς προφητείας.

[11]*Καὶ εἶδον τὸν οὐρανὸν ἠνεῳγμένον. καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν καλούμενος πιστὸς καὶ ἀληθινός,*

1. *καὶ δώσομεν*] ... ..*σομεν A*, *καὶ δῶμεν hvς Cypr*   *την δοξαν αυτω Avς*, ei (*add* gloriae *Cypr*) claritatem *h Cypr*   2. *ητοιμασεν εαυτην Ahvς*, se praeparavit *Cypr* 293   3. *λαμπρον* (candidum) *καθαρον Ahv*, *καθαρὸν καὶ λαμπρόν ς*   *βυσσινον Avς*, *add* mundum *h*   4. *των αγιων εστιν Ah*, *ἐστι τῶν ἁγίων vς*   ait *h*   5. *κεκλημενοι*] *sic rec A*, *κεκλημενους pr A?*   *λεγει Aς*, iterum dixit *h*   6. *οι* (*om ς*) *αληθινοι Aς*, vera et iusta *h*   *του θεου εισιν Ahv*, *εἰσι τοῦ Θεοῦ ς*   *επεσα A*, *ἔπεσον ς*   6.7. ad pedes *h*   7. ut adorarem *hv*   ait *h*   *μη Aς*, ne feceris *hv Cypr* 255, *add* quoniam (quia) *h Cypr*   8. *των εχοντων την μαρτυριαν Ahvς*, *om Cypr*   9. *ιησου* (*τοῦ Ἰησοῦ ς*, iesu christi *h*) *τω θεω Ahvς*, iesum dominum *Cypr*   *η γαρ μαρτυρια* (*add τοῦ ς*) *ιησου Avς*, sanctificatio enim testificationis *h*   10. *της προφητειας Avς*, prophetarum *h*   11. *και ειδον Avς Orig* 4, 55[a] *Cypr* 285 297, vidi *h*   *τον Aς*, *om Orig*   *ηνεωγμενον A*, *ἀνεῳγμ. ς Orig*   *και ιδου A hvς Iren* 256 *Cypr*, *ἰδοὺ Orig*   12. *καλούμενος ς Orig* 4, 55[a] (45[c]), vocabatur *h Iren Cypr*, *om A*. *δίκαιον καλούμενον Orig* 4, 57[a]

uenerunt nuptiae agni et uxor eius praeparauit se, [8]et datum est illi ut cooperiat (oper.) se byssinum splendens [et] candidum. byssinum enim iustificationes sunt (*om al*) sanctorum. [9]et dicit (dixit) mihi Scribe Beati (*om al*) qui ad cenam (caen. *F al*) nuptiarum agni uocati sunt. et dicit mihi (et iterum m. d.) Haec uerba uerba dei (h. u. dei uera *L al*) sunt. [10]et cecidi (caec. *pr F*) ante pedes eius, ut adorarem eum (-rare *pr F*, -rarem *al*). et dicit mihi Vide ne feceris: conseruus (cums.) tuus sum et fratrum tuorum habentium testimonium Iesu: deum adora. testimonium enim Iesu est spiritus prophetiae (prophetarum). (20) [11]Et uidi caelum apertum. et ecce equus albus, et qui sedebat super eum uocabatur (uocatur *F*, *om unus*) fidelis et uerax uocatur (*om unus qui supra* uocabatur), et iustitia (-am *V al*) iudicat

καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. 12 οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά, ἔχων ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός, 13 καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι, καὶ κέκληται τὸ ὄνομα αὐτοῦ ὁ λόγος τοῦ θεοῦ. 14 καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐφ' ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν καθαρόν. 15 καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ τὰ ἔθνη. καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ

1. *και εν δικαιοσυνη* (per iustitiam) *κρινει και πολεμει Aς Orig* 4,55^{a} (57^{ae}) *Iren*, aequum et iustum qui iudicat et praeliatur *h*, aequum iustumque iudicans (-cat 297) et praeliabatur (-liatur 297) *Cypr* 285 297 1-3. *οἱ δὲ . . . εἰ μὴ αὐτός om Cypr* 285 1. *οι δε οφθαλμοι* (*ὀφθ. δὲ Orig* 4,57) *Ahς Orig* 4,55^{a}57^{d} *Cypr* 297, et oculi *Iren* 256 eius erant *h Cypr* 2. *επι την κεφαλην Ahς Orig* 4,55^{b} 58^{a} *Cypr*, in capite *v Iren* *εχων Avς Orig Iren*, et habens *h*, et portabat *Cypr* 297 3. *ονομα Avς Orig* 4,55^{b} 58^{b} *Iren* 256 *Cypr*, *add* magnum *h* *ο ουδεις οιδεν ει μη αυτος Ahvς Orig Iren*, nemini alii nisi sibi notum *Cypr* et circumamictus *Iren* 256, et erat (eratque *Cypr* 285) coopertus *h Cypr* 285 297 4. *βεβαμμενον Aς*, *ἐρραμμένον Orig* 4,58^{c}, *ἐρραντισμένον Orig* 4,55^{b} *κεκληται A*, *ἐκέκλητο Orig* 4,55^{b}, *καλεῖται vς Iren*, dicitur *h Cypr* *ο λογος A ς*, *λόγος Orig* 4,55^{bc} 5. *τα εν τω ουρανω Ahvς Orig* 4,58^{d} *Cyprian* 297, *αὐτοῦ ἐν τῷ οὐρανῷ Orig* 4,55^{b}, caeli *Iren* 256 6. *αυτω Ahvς Orig Cypr*, *om Iren* *εφ Aς*, *ἐπὶ Orig* 4,55^{b}, in *hv Iren Cypr* *ἐνδεδυμένοις Orig* *βύσσινον λευκὸν* (*add καὶ ς Orig*) *hvς Orig* 4, 58^{e} *Iren* 256 *Cypr* 297, *λευκον βυσσινον A*, *βύσσινον Orig* 4, 55^{b} 7. *εκπορευεται Avς Orig* 4,55^{b} *Iren*, exiebat *h Cypr* *οξεια Avς Orig Iren*, utraque parte (utrinque *Cypr*) acutus *h Cypr* 297, bisacutus *Hilar* 593 8. *εν αυτη Avς Orig Iren*, ex eo *h Cypr* *παταξη A Orig*, percuteret *h Cypr*, *πατάσσῃ ς*, percutiat *v Iren* 256 gentes *v Iren*, nationes *h Cypr* *και αυτος ποιμανει* (pascit *Iren*) *αυτους* (eas *h*) *Ahvς Orig* 4,55^{b} *Iren*, quas ipse pasciturus est *Cyprian* 297

(iudicans) et pugnat (pugna). 12 oculi autem (*om F*) eius sicut flamma ignis, et in capite eius diademata (diadim.) (d. e. *L*) multa, habens nomen scriptum quod nemo nouit nisi ipse. 13 et uestitus erat uestem aspersam (ueste -sa) sanguine (-nem *pr F*), et uocatur (uocabatur) nomen eius uerbum dei. 14 et exercitus qui *sunt* in caelo sequebantur (-batur *V al*) eum in equis albis, uestiti byssinum album mundum (et ex.-mundum *om al*). 15 et de ore ipsius procedit gladius acutus, ut in ipso percutiat gentes. et ipse reget eos in uirga ferrea

σιδηρᾷ, καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ θεοῦ τοῦ παντοκράτορος. 16*καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον, βασιλεὺς βασιλέων καὶ κύριος κυρίων.* 17*καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ· καὶ ἔκραξεν φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν μεσουρανήματι Δεῦτε συνάχθητε εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ θεοῦ,* 18*ἵνα φάγητε σάρκας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν, καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ' αὐτούς, καὶ σάρκας πάντων ἐλευθέρων τε καὶ δούλων καὶ μικρῶν καὶ μεγάλων.* 19*καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύματα αὐτοῦ συνηγμένα ποιῆσαι τὸν πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.* 20*καὶ ἐπιάσθη τὸ θηρίον, καὶ μετ' αὐτοῦ ὁ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησεν τοὺς λαβόντας τὸ χάραγμα τοῦ*

1. *πατει* ***Αυς Orig*** 4, 55ᶜ ***Iren***, calcabit (-vit ***h***) ***h Cypr*** *του θυμου* (add *καὶ* ***ς***) *της οργης* ***Αυς Iren***, *τῆς ὀργῆς τοῦ θυμοῦ* ***Orig***, irae ***h Cypr*** 2. *καὶ εχει* ***Αυς Orig Iren*** 256, habet etiam ***h Cypr*** 297 2. 3. *ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν* ***ς Orig Iren***, in veste et in femore ***h Cypr***, *επι τον μηρον* ***A*** 3. *βασιλευς* ***Ας***, *ὁ βασιλεὺς* ***Orig*** 4, 55ᶜ 4. *κυριων* ***Αhς Orig Iren***, dominantium ***v Cypr*** 5. *τοις πετομενοις* (*πετωμ.* ***ς***) *εν μεσουρανηματι* ***Ας***, caeli ***h*** 6. *συναχθητε* ***Αv***, *καὶ συνάγεσθε* ***ς***, om ***h*** *το μεγα του* ***Αhv***, *τοῦ μεγάλου* ***ς*** 8. *αυτους* ***A***, *αὐτῶν* ***ς*** 9. *τε* ***A***, om ***hvς*** 11. *αυτου* ***A***, *αὐτῶν* ***hvς*** *τον* ***A***, om ***ς*** 12. *ιππου* ***Αvς***, equum album ***h*** 13. *μετ'* (*οι μετ* ***A***) *αυτου* ***Αhv***, *μετὰ τούτου* ***ς*** 14. *seq* *εν οις επλανησεν τους λαβοντας το χαραγμα του θηριου και τους προσκυνουντας* ***Ας***, quibus signis seducti erant adorare ***h***

(f. u. ***F***), et ipse calcat torcular uini furoris irae dei omnipotentis. 16et habet in uestimento et in (super ***F***) femore suo (om ***L***) scriptum (scribt. ***F***) Rex regum et dominus dominantium. 17et uidi unum angelum stantem in sole: et clamauit uoce magna, dicens omnibus auibus quae uolabant per medium caeli (caelum) Venite congregamini ad cenam (caenam ***F al***) magnam dei, 18ut manducetis carnes regum et carnes tribunorum (tribon.) et carnes fortium, et carnes equorum (eqor.) et sedentium in ipsis, et carnes omnium liberorum ac (hac) seruorum et pusillorum ac (hac ***al***, et ***F***) magnorum. 19et uidi bestiam et reges terrae et exercitus eorum congregatos ad faciendum proelium cum illo qui sedebat in equo et (om ***F al***) cum exercitu (-tum ***L***) eius. 20et adpraehensa est bestia, et cum illo pseudopropheta (saeudopr., -tae ***F***, -te) qui fecit signa coram ipso, quibus seduxit eos qui acceperunt (accip.) characterem (car. ***FL***, -re) bestiae, qui

θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ. ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τῆς καιομένης ἐν θείῳ. [21]καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ ἐκ τοῦ στόματος αὐτοῦ, καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν. [1]καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖν τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. [2]καὶ ἐκράτησεν τὸν δράκοντα, ὁ ὄφις ὁ ἀρχαῖος, ὅς ἐστιν διάβολος καὶ ὁ σατανᾶς, καὶ ἔδησεν αὐτὸν χίλια ἔτη, [3]καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισεν καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανήσῃ ἔτι τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· μετὰ ταῦτα δεῖ λυθῆναι αὐτὸν μικρὸν χρόνον.

[4]Καὶ εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ' αὐτούς, καὶ κρῖμα ἐδόθη αὐτοῖς. καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν

1. *αυτου Αυς*, bestiae et qui acceperant caragma illius *h* 2. hi duo *hv* *Iren* 326 *της καιομενης A*, ardentis *hv*, *τὴν καιομένην ς* *εν* (*add τῷ ς*) *θειω Aς*, igne et sulphure *h* 3. *εν Αυς*, *om h* 4. *ιππου Αυς*, equum album *h* *εξελθουση Ah*, *ἐκπορευομένῃ υς* *ορνεα*] *sic corr A*, *θηρια pr A?* 6. *κλιν. A*, *κλεῖδα ς* 7. *επι την χειρα Aς*, in manu *hv* 7. 8. *ο οφις ο αρχαιος A*, *τὸν* (illum *h*) *ὄφιν τὸν ἀρχαῖον hvς* 8. *εστιν Αυς*, cognominatus est *h* *ο A*, *om ς* 9. *εκλεισεν Ahv*, *add αὐτὸν ς* 10. *ἐπάνω αὐτοῦ hvς*, *εμμενως αυτον A* *ετι τα ἐθνη Ahv*, *τὰ ἔθνη ἔτι ς* 11. *μετα Ahv*, *καὶ μετὰ ς* *λυθηναι αυτον A*, *αὐτὸν λυθῆναι h υς* 13. *και εκαθισαν Αυς*, in visione et sedentes *h* 14. *και A hvς*, et vidi *Cypr* 273 *πεπελεκισμένων υς*, occisorum *h Cypr*, *πεπολεμημενων A* *την μαρτυριαν Ahvς*, nomen *Cypr*

et (*om al*) adorant imaginem eius. uiui missi sunt hi (i) duo in stagnum ignis ardentis [et] sulphure (sulphore). [21]et ceteri occisi sunt in gladio sedentis super equum (equm), [et] qui procedit de ore ipsius, et omnes aues saturatae sunt carnibus eorum. [1]et uidi angelum descendentem de caelo, habentem clauem abyssi et catenam magnam in manu sua. [2]et adpraehendit draconem (drachon. *F*), serpentem [illum] antiquum, qui est diabolus (-bulus) et satanas, et ligauit eum (illud) per annos mille, [3]et misit eum in abyssum, et (*om al*) clausit (clusit *L al*) et signauit super illum, ut non seducat amplius gentes, donec consummentur mille anni: post haec oportet illum solui modico tempore. [4]et uidi sedes, et sederunt super eas, et iudicium datum est (*om al*) illis. et animas decollatorum propter testimonium

*Ἰησοῦ καὶ διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τὸ
θηρίον οὐδὲ τὴν εἰκόνα αὐτοῦ καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ
μέτωπον καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν, καὶ ἔζησαν καὶ ἐβασίλευσαν
μετὰ τοῦ χριστοῦ χίλια ἔτη· 5οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν
ἄχρι τελεσθῇ τὰ χίλια ἔτη. Αὕτη ἡ ἀνάστασις ἡ πρώτη. 6μακά-
ριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τού-
των ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσονται ἱερεῖς τοῦ
θεοῦ καὶ τοῦ χριστοῦ, καὶ βασιλεύσουσιν μετ' αὐτοῦ χίλια ἔτη.
7καὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη, λυθήσεται ὁ σατανᾶς ἐκ τῆς φυ-
λακῆς αὐτοῦ, 8καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσ-
σαρσιν γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ Μαγώγ, συναγαγεῖν αὐτοὺς
εἰς τὸν πόλεμον, ὧν ὁ ἀριθμὸς αὐτῶν ὡς ἡ ἄμμος τῆς θαλάσσης.
9καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλευσαν τὴν παρεμ-*

1. *δια Ahvς, om Cypr* 1. 2. *οιτινες* (si qui *h*) *ου προσεκυνησαν το θηριον* (*τῷ θηρίῳ ς*) *ουδε την εικονα* (*οὔτε τῇ εἰκόνι ς*) *αυτου Ahvς*, quicumque imaginem bestiae non adoraverunt *Cypr* 273 2. scriptionem *h*, inscriptionem *Cypr* 2. 3. *επι το μετωπον* (*add αὐτῶν ς*) *και επι την χειρα Aς*, in fronte aut in manu *h Cypr* 4. *χιλια A, τὰ χίλια ς* *οι Ahv, οἱ δὲ ς* *των νεκρων Avς*, eorum *h* *εζησαν Ahv, ἀνέζησαν ς* 5. *αχρι A, ἕως ς* finiantur *h* 6. *και αγιος Ahvς Iren* 334, *om Orig* 3, 139*d* *τη αναστασει τη πρωτη Avς Orig Iren*, hac prima resurrectione *h* *επι τουτων Aς*, in istis *h* 7. *δευτερος θανατος Ahv, θάνατος ὁ δεύτερος ς* 8. *βασιλευσουσι hvς, βασιλευουσιν A* 10. ad seducendas nationes *h* 11. *καὶ A, καὶ τὸν ς* *συναγαγειν αυτους Aς*, et trahet eas *h* 12. *τον A, om ς* *αυτων A*, est *hv, om ς* 13. *εκυκλευσαν A, ἐκύκλωσαν ς*

Iesu et propter uerbum dei, et qui non adorauerunt bestiam neque imaginem eius nec acceperunt (accip.) characterem (car. *F*) [eius *FL*] in frontibus aut in manibus suis, et uixerunt et regnauerunt cum Christo mille annis: 5ceteri mortuorum non uixerunt donec consummentur mille anni (annis *pr F*). (21) Haec est resurrectio prima. 6beatus et (est *pr F*) sanctus qui habet partem in resurrectione (-nem *F*) prima: in his secunda mors non habet potestatem, sed sunt sacerdotes dei et Christi, et regnabunt cum illo mille annis. 7et (sed *L*) cum consummati fuerint mille anni, soluetur (soluitur) satanas de carcere suo, 8et exiuit (-bit) et seducet gentes quae sunt super quattuor angulos terrae, Gog et Magog, et congregauit eos in proelium, quorum numerus est sicut harena (ar.) maris. 9et ascenderunt super latitudinem terrae, et circuierunt (circum ier. *L al*) castra sanctorum

βολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτούς, [10]*καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης, καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

[11]*Καὶ εἶδον θρόνον μέγαν λευκόν, καὶ τὸν καθήμενον ἐπ' αὐτοῦ, οὗ ἀπὸ τοῦ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς.* [12]*καὶ εἶδον τοὺς νεκροὺς τοὺς μεγάλους καὶ τοὺς μικροὺς ἑστῶτας ἐνώπιον τοῦ θρόνου, καὶ βιβλία ἠνοίχθησαν· καὶ ἄλλο βιβλίον ἠνοίχθη, ὅ ἐστιν τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν.* [13]*καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκεν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς, καὶ ἐκρίθη-*

1. *πολιν την ηγαπημενην Αvς*, dilectam civitatem *h* *πυρ Ah, add ἀπὸ τοῦ θεοῦ vς* 3. *οπου και Ahv, ὅπου ς* 4. *ο ψευδοπροφητης και Aς*, pseudoprophetae *h* 6. *μεγαν* (*add* et *h*) *λευκον Ahv, λευκὸν μέγαν ς Iren* 336 *επ αυτου Ahvς*, in eo *Iren* 7. *ου απο του* (*om ς*) *Aς Iren*, a cuius *hv* *η γη και ο ουρανος Aς Iren*, caelum et terra *h* 8. *ουχ ευρεθη* (est *Iren*) *αυτοις Avς Iren*, eorum inventus non est *h* 8. 9. *τους μεγαλους και τους μικρους* (minores *Iren*) *Ahv Iren* 336, *μικροὺς καὶ μεγάλους ς* 9. *εστωτας ενωπιον του θρονου* (*Θεοῦ ς*) *Avς*, *om h* *βιβλια ηνοιχθησαν* (*ἠνεῴχθησαν ς*) *Avς Iren* 336, aperti sunt libri *h* 10. *και αλλο βιβλιον ηνοιχθη* (*βιβλ. ἄ. ἠνεῴχθη ς*) *ο εστιν της ζωης* (*add* unius cuiusque *h*) *Ahvς*, sed et vitae, ait, apertus est liber *Iren* 11. *εκ των γεγραμμενων εν τοις βιβλιοις Avς Iren*, ex ipsis scripturis librorum *h* 12. *εδωκεν η θαλασσα τους νεκρους τους εν αυτη* (*τοὺς ἐν αὐτῇ νεκροὺς ς*) *Avς Iren* 336, exhibuit mortuos mare qui in eo erant *h* 13. *εδωκεν A, ἔδωκαν hvς Iren* *νεκρους τους εν αυτοις* (quos apud se habebant *Iren*) *Ahv Iren, ἐν αὐτοῖς νεκροὺς ς*

et ciuitatem dilectam. et descendit ignis a deo de caelo et deuorauit eos, [10]et diabolus (diabulus *L al*) qui seducebat eos missus est in stagnum ignis et sulphoris (solphoris, sulphuris *F*), ubi et (est *F*) bestia et pseudoprophetae (-tis *L*, -te), et cruciabuntur die ac nocte in saecula saeculorum. [11]et uidi thronum magnum candidum, et sedentem super eum, a cuius conspectu (asp. *F al*) fugit terra et caelum (c. et t.), et locus [eius] non est inuentus ab eis (ab eis *om al*). [12]et uidi mortuos magnos et pusillos stantes in conspectu throni, et libri aperti sunt: et alius liber apertus est, qui est uitae: et iudicati sunt mortui ex his quae scripta (scribta *pr F*) erant in libris secundum opera ipsorum. [13]et dedit mare mortuos qui in eo erant (er. in eo), et mors et inferus (infernus) dederunt mortuos qui in ipsis erant,

σαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν. [14]καὶ ὁ θάνατος καὶ ὁ ᾍδης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός. Οὗτος ὁ θάνατος ὁ δεύτερός ἐστιν, ἡ λίμνη τοῦ πυρός. [15]καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

[1]Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλθαν, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι. [2]καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. [3]καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ θρόνου λεγούσης Ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ θεὸς μετ' αὐτῶν ἔσται αὐτῶν θεός, [4]καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δά-

1. *και prius* Αυς *Iren* 336, *om h* 2. 3. *ουτος ο θανατος ο δευτερος εστιν η λιμνη του πυρος* Αυ, οὗτός ἐστιν ὁ δεύτερος θάνατος ς, secundam mortem *Iren*, *om h* 3. *ει τις ουχ ευρεθη* Aς *Iren*, qui non sunt inventi *h* 4. *γεγραμμενος εβληθη* Αυς *Iren* 336, scripti missi sunt *h* 5. *ειδον* Ahυς, post haec ait vidi *Iren* 6. *πρωτη* Αυς, *om h Iren* *απηλθαν* Ah *Iren*, παρῆλθε ς ἡ θάλασσα οὐκ ἔστιν ἔτι ς, mare iam (iam *m*. *Iren*) non est *hv Iren* 336, *την θαλασσαν ουκ ιδον ετι* A 7. *την πολιν την αγιαν* (magnam *h*) *ιερουσαλημ καινην ειδον* Ah *Iren*, ἐγὼ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν, Ἱερουσαλὴμ καινὴν ς 8. *εκ του ουρανου απο του θεου* Ahυ, ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ ς, de caelo *Iren* *νυμφην* Αυς *Orig* 3, 633[b] *Iren* 336, novam nuptam *h* 9. *θρονου* A υ *Iren*, οὐρανοῦ *h*ς 10. 11. *μετα των ανθρωπων και σκηνωσει μετ αυτων* Ahς *Iren* 336, in quo habitabit cum hominibus *Iren* 252 11. *αυτοι λαοι αυτου εσονται* Aς *Iren* 336, erunt ipsi populus eius *h* 12. *μετ αυτων εσται* Αυ *Iren*, ἔσται μετ' αὐτῶν *h*ς *αυτων θεος* Αυ *Iren*, Θεὸς αὐτῶν ς, *om h* *ο θεος* Ahυς, *om Iren*

et iudicatum est de singulis secundum opera ipsorum. [14]et infernus (inferus *L al*) et mors missi sunt in stagnum ignis. haec mors secunda est, [in *L al*, *om F*] stagnum (instagn. *om al*) ignis. [15]et qui non est inuentus in libro uitae scriptus (scribtus *F*), missus est in stagnum ignis. [1]et uidi caelum nouum et terram nouam: primum enim caelum et prima terra abiit, et mare iam non est. [2]et [ego Iohannes] ciuitatem sanctam Hierusalem nouam uidi (*post* Iohannes *al*) descendentem de caelo a deo, paratam sicut sponsam ornatam (inorn.) uiro suo. [3]et audiui uocem magnam de throno dicentem Ecce tabernaculum dei cum hominibus, et habitabit (-tauit *L*, -tat *F*) cum eis, et ipsi (ipse) populus eius erunt, et ipse deus cum eis erit eorum deus, [4]et absterget deus omnem lacrimam ab oculis eorum, et mors

κρυον ἐκ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος οὔτε κραυγὴ οὔτε πόνος οὐκ ἔσται ἔτι· τὰ πρῶτα ἀπῆλθαν. [5]καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ Ἰδοὺ καινὰ ποιῶ πάντα. καὶ λέγει Γράψον, ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσιν. [6]καὶ εἶπέν μοι Γέγοναν. ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ὦ, ἡ ἀρχὴ καὶ τὸ τέλος. ἐγὼ τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν. [7]ὁ νικῶν κληρονομήσει ταῦτα, καὶ ἔσομαι αὐτῷ θεός, καὶ αὐτὸς ἔσται μοι υἱός. [8]τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις καὶ ἐβδελυγμένοις καὶ φονεῦσι καὶ πόρνοις καὶ φαρμακοῖς καὶ εἰδωλολάτραις καὶ πᾶσι τοῖς ψεύσταις τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.

1. *εκ A*, *ἀπὸ hvς Iren* 336   *ουκ εσται ετι Aς Iren*, iam non erit *h*   *ουτε A? hvς*, non *Iren*   2. *οὔτε prius Ahvς*, non *Iren*   *ουτε πονος ουκ εσται ετι Avς*, neque dolor ulterius erit *Iren*, sed nec ullus dolor *h*   *τα πρωτα Av*, *ὅτι τὰ πρῶτα* (priora *h*) *hς Iren* 336   *απηλθαν A*, *ἀπῆλθον ς*   3. *επι τω θρονω* (*τοῦ θρόνου ς*) *Aς Iren* 336, in throno *hv*   *ἰδοὺ hvς Iren*, *και ιδου A*   *ποιω παντα Ahv Iren*, *πάντα ποιῶ ς*   4. *λεγει* (*add μοι ς*) *γραψον οτι Aς*, dicit dominus Omnia scribe quoniam *Iren*, dixit mihi *h*   *πιστοι και αληθινοι εισιν A Iren*, fidelissima sunt et vera *hv*, *ἀληθινοὶ καὶ πιστοί εἰσι ς*   5. *γεγοναν A Iren* 336, *γέγονε hvς*   *ειμι Ahvς Cyprian* 285 287, *om Cypr* 327   *αλφα A*, *α hvς Cypr*   5. 6. *η αρχη και το τελος Avς Cypr*, primus et novissimus *h*   6. *τῆς πηγῆς hv ς Cypr*, *om A*   7. *της ζωης Aς Cypr* 285 287 327, vivae *hv*   qui vicerit *hv Cypr* 287 327   *ταυτα Ahv*, *πάντα ς*, haec et eorum hereditatem *Cypr*   *αὐτῷ hvς*, eius *Cypr*, *αυτων A*   8. *αυτος hς*, ille *v Cypr*, *om A*   *υιος A*, *ὁ υἱός ς*   *τοις δε δειλοις A*, *Δειλοῖς δὲ ς*, dubiis autem *h*   9. *φαρμακοις A*, *φαρμακεῦσι ς*   10. *ψευσταις A*, *ψευδέσι ς*   *αυτων Aς*, erit *h*   10. 11. *τη καιομενη πυρι Avς*, ignis quod ardet *h*   11. *ο θανατος ο δευτερος Ahv*, *δεύτερος θάνατος ς*

ultra non erit, neque luctus neque clamor neque dolor erit ultra: quae prima, abierunt (hab.) [5]et dixit qui sedebat in throno Ecce noua facio omnia. et dicit (dixit mihi *F*) Scribe, quia haec uerba fidelissima sunt et uera. [6]et dixit mihi Factum est. [et *F*] ego sum *α* et *ω*, initium et finis. ego sitienti dabo de fonte aquae uiuae gratis (*om F*). [7][qui uicerit, possidebit (possedeb.) haec, *om pr L*] [et ero illi (ei) deus, et ille erit mihi filius. *om L*] [8]timidis autem et incredulis et execratis (exsecr., execcatis *L*) et homicidis et fornicatoribus et (*om L*) ueneficis (ben. *pr F*, uenif. *L*) et idolatris et omnibus mendacibus pars illorum erit in stagno ardenti igne (igni, *om al*) et sulphure (sulphore *L al*), quod est mors secunda. (22) [9]Et uenit

[9]Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ
φιάλας, τῶν γεμόντων τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλά-
λησεν μετ' ἐμοῦ λέγων Δεῦρο δείξω σοι τὴν νύμφην, τὴν γυναῖκα
τοῦ ἀρνίου. [10]καὶ ἀπήνεγκέν με ἐν πνεύματι ἐπὶ ὄρος μέγα καὶ
ὑψηλόν, καὶ ἔδειξέν μοι τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ κατα-
βαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, [11]ἔχουσαν τὴν δόξαν τοῦ
θεοῦ. ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι
κρυσταλλίζοντι. [12]ἔχουσα τεῖχος μέγα καὶ ὑψηλόν, ἔχουσα πυλῶνας
δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν τὰ ὀνόματα τῶν δώ-
δεκα φυλῶν υἱῶν Ἰσραήλ. [13]ἀπὸ ἀνατολῆς πυλῶνες τρεῖς, καὶ ἀπὸ
βορρᾶ πυλῶνες τρεῖς, καὶ ἀπὸ νότου πυλῶνες τρεῖς, καὶ ἀπὸ δυ-

1. εις εκ *Ahv*, πρός με εἷς ς   1.2. επτα φιαλας *A*ς, phialas septem *h*   2. των γεμοντων *A*, τὰς γεμούσας *hv*ς   3. την νυμφην *Av*ς, novam nuptam *h Cypr* 293   3.4. την γυναικα του αρνιου *A hv Cypr*, τοῦ ἀρνίου τὴν γυναῖκα ς   4. duxit *h Cypr*   ἐν πνευματι *Av*ς *Cypr*, *om h*   επι *A*, ἐπ' ς, in *hv Cypr*   4.5. και υψηλον *Ahv*ς, *om Cypr* 293   5. πολιν *Ahv Cypr*, *add* τὴν μεγάλην ς   6.7. ἔχουσαν τὴν δόξαν (lumen claritatis *h*) τοῦ θεοῦ *hv*ς *Cypr*, *om A*   7. ο (καὶ ὁ ς) φωστηρ αυτης ομοιος *Av*ς, et quod illuminat eam simile est *h*   7.8. iaspidis refulgenti in modum crystalli *h*   8. εχουσα *A*, Ἔχουσάν τε ς, et habet *h*   υψηλον *Av*ς, latum *h*   εχουσα *Av*, ἔχουσαν ς, qui habet *h*   8.9. πυλωνας δωδεκα *A*, *add* καὶ ἐπὶ (in) τοῖς πυλῶσιν ἀγγέλους δώδεκα *h*ς   9. επιγεγραμμενα α εστιν τα ονοματα (τὰ ὀν. *om* ς) *A*ς, scripta *h*   10. υιων *A*, τῶν υἱῶν ς   απο *A*, ἀπ' ς   και *A*?, *om h*ς   11. *seq* καὶ ἀπὸ νότου *usque ad* δυσμῶν πυλῶνες τρεῖς] ἀπὸ νότου πυλῶνες τρεῖς ἀπὸ δυσμῶν (occidente *h*) πυλῶνες τρεῖς *h*ς, και απο δυσμων πυλωνες τρεις και απο νοτου πυλωνες τρεις *A*

unus de septem angelis habentibus phialas (fialas *FL*) plenas septem plagis nouissimis, et locutus est mecum dicens Veni, [et] ostendam tibi sponsam, uxorem agni. [10]et sustulit me in spiritu in montem magnum et altum, et ostendit mihi ciuitatem sanctam Hierusalem descendentem de caelo a deo, [11]habentem claritatem dei. lumen eius simile lapidi (-de) praetioso (pret.), tamquam lapidi iaspidis sicut (l. i. s. *om al*) crystallum. [12]et habebat murum magnum et altum, habens portas duodecim (XII *F*), [et in portis angelos (angulos *L*) duodecim (duodicem) *om F al*], et nomina inscripta (scripta, scribta *F*), quae sunt nomina duodecim (XII *F*) tribuum filiorum (*om al*) Israhel. [13]ab oriente portae tres, [et *om F al*] ab aquilone portae tres, [et *om F*] ab austro (occasu *L*) portae (*om al*) tres, [et *om F*] ab occasu (-so,

σμῶν πυλῶνες τρεῖς. 14 καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου. 15 καὶ ὁ λαλῶν μετ' ἐμοῦ εἶχεν μέτρον κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖχος αὐτῆς. 16 καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς ὅσον καὶ τὸ πλάτος. καὶ ἐμέτρησεν τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώδεκα χιλιάδων. τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστίν. 17 καὶ ἐμέτρησεν τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσεράκοντα τεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου. 18 καὶ ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρὸν ὅμοιον ὑάλῳ καθαρῷ. 19 οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ

1. *το τειχος Αυς*, muri *h* *ἔχον ς*, *εχων Α*, habent *h* 2. *επ αυτων δωδεκα Α*, super ea *h*, *ἐν αὐτοῖς ς* 3. *του Ας*, et *h* *ο λαλων μετ εμου Αυς*, qui mecum loquebatur *h* *μετρον Αυ*, *om hς* *χρυσουν Αυς*, *add* ad mensuram *h* 4. *το τειχος Αυς*, muros *h* 6. *ὅσον*] .... *Α*, *τοσοῦτόν ἐστι ὅσον hυς* 6—8. *επι σταδιους δωδεκα χιλιαδων το μηκος και το πλατος και το υψος αυτης ισα εστιν Ας*, stadiorum duodecim millia longitudine et latitudine et altitudine aequali *h* 8. *και εμετρησεν το τειχος αυτης Ας*, murus autem dimensus est *h* 8. 9. *ἑκατὸν τεσσαρακοντατεσσάρων hυς*, *δ̄ και εκατον τεσσερακοντα τεσσαρων Α* 9. *πηχων Αυς*, *om h* *και Α*, *add* fuit *h*, *add ἦν υς* 10. *ἐνδόμησις ς*, *ενδωμησις Α* *ιασπις Ας*, ex lapide iaspide *hυ* 10. 11. *και η πολις χρυσιον καθαρον ομοιον* (*ὁμοία* ꝑ) *Ας*, ipsa vero civitas ex auro mundo similis *h* 11. 12. *οι* (*Καὶ οἱ ς*) *θεμελιοι του τειχους της πολεως παντι λιθω τιμιω κεκοσμημενοι Αυς*, fundamenta autem ex omni lapide pretioso *h* 12. *ο θεμελιος ο πρωτος Αυς*, primum fundamentum *h*

austro *L*) portae (*om al*) tres. 14 et murus ciuitatis habens fundamenta duodecim (-dicem), et in ipsis duodecim (-dicem) nomina duodecim (-dicem) apostolorum (-stulorum) [et *om L*] agni. 15 et qui loquebatur mecum habebat mensuram harundineam auream, ut metiretur ciuitatem et portas eius et murum. 16 et ciuitas in quadro posita est, et (est et *om al*) longitudo eius (*om F*) tanta est quanta et latitudo. et mensus est ciuitatem de harundine (arund.) per (prae) stadia duodecim (-dicem) milia. longitudo et latitudo (et l. *om L*) [et altitudo *om FL al*] eius (*om L al*) aequalia sunt. 17 et mensus est murus eius centum quadraginta quattuor (XLIIII) cubitorum, mensura hominis (-nes), quae est angeli. 18 et erat structura muri eius ex lapide iaspide, ipsa uero ciuitas auro mundo, simile uitro mundo. 19 fundamenta muri ciuitatis omni lapide praetioso (pret.) ornata: fundamentum primum iaspis (-idis *F al*), secundus sapphirus (saph. *L*, sapphyr.

δεύτερος σάπφειρος, ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμάραγδος, [20]ὁ πέμπτος σαρδιόνυξ, ὁ ἕκτος σάρδιον, ὁ ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος βήρυλλος, ὁ ἔνατος τοπάζιον, ὁ δέκατος χρυσόπρασον, ὁ ἑνδέκατος ὑάκινθος, ὁ δωδέκατος ἀμέθυστος. [21]καὶ οἱ δώδεκα πυλῶνες δώδεκα μαργαρῖται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου. καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν ὡς ὕαλος διαυγής. [22]καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὁ ναὸς αὐτῆς ἐστίν, καὶ τὸ ἀρνίον. [23]καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν αὐτῇ· ἡ γὰρ δόξα τοῦ θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. [24]καὶ περιπατήσουσιν τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς, καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσιν τὴν δόξαν αὐτῶν εἰς αὐτήν, [25]καὶ οἱ πυλῶ-

2. σαρδιονυξ *A*, σαρδόνυξ *hvς* σαρδιον *A*, σάρδιος *hς* chrysolitus *h* 3. βήρυλλος *hς*, βηριλλος *A* ενατος *A*, ἔννατος *ς* topasius *h* χρυσοπρασον *A*, χρυσόπρασος *hς* 4. 5. οι δωδεκα πυλωνες δωδεκα μαργαριται *Aς*, duodecim portas singulae ex singulis margaritis *h* 5. 6. ἀνὰ (ἵνα *A*) εις εκαστος των πυλωνων ην εξ ενος μαργαριτου *Aς*, om *h* 6. η πλατεια της πολεως χρυσιον καθαρον *Aς*, plateas eius ex auro limpido *h* 7. διαυγης *A*, διαφανής *ς*, limpidum *h* και ναον ουκ ειδον εν αυτη *Avς*, templum autem in ea non vidi *h* 8. ο (om *ς*) ναος αυτης εστιν και το αρνιον *Avς*, et agnus templum illius est *h* 9. ουδε *Avς*, et *h* αυτη *Ah*, ἐν αὐτῇ *ς* 10. εφωτισεν *Avς*, illuminat *h* 11. περιπατησουσιν τα εθνη δια του φωτος (in lumine) αυτης *Ah*, τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσι *ς* 12. φερουσιν *Aς*, afferent *hv* δοξαν *Ah*, *add* καὶ τὴν τιμὴν *ς*

F), tertius calcidonius (carced. *F*), quartus zmaragdus (-actus), [20]quintus sardonix (sardinus), sextus sardinus (sardonius *F al*), septimus chrysolithus (crisolitus *L*, chrysolitus *F*), octauus beryllus (birillus *L*, byrill. *F*), nonus topazius (-dius *L al*, -gius *pr F*), decimus chrysoprassus (chryssopr. *L*, chysolipr. *F*, crissopr.), undecimus yacinthus (iac. *L al*, iach., -intus *F al*), duodecimus amethystus (-tistus *F*). [21]et duodecim portae duodecim margaritae sunt per singulas, et [in] singulae portae erant ex singulis (er. singulae *F al*) margaritis. et platea (-ae *F al*) ciuitatis aurum mundum (auro mundo) tamquam uitrum perlucidum. [22]et templum non uidi in ea (eam *pr F*): dominus enim deus (*om al*) omnipotens templum illius est, et agnus. [23]et ciuitas non eget sole (-lem *pr F*) neque luna, ut luceant in (*om L*) ea: nam claritas dei inluminauit eam, et lucerna eius est agnus (a. e.). [24]et ambulabunt (-lant *F*) gentes per lumen (in lumine) eius, et reges terrae afferent (adf. *F*) gloriam suam et honorem in illam, [25]et portae

-νες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας (νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ), [26]καὶ οἴσουσιν τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν. [27]καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ ποιῶν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου. [1]καὶ ἔδειξέν μοι ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ καὶ τοῦ ἀρνίου. [2]ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆναν ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν. [3]καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἔτι. καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ [4]καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. [5]καὶ νὺξ οὐκ ἔσται ἔτι, καὶ οὐχ ἕξουσιν χρείαν

1. *ουκ εσται εκει Aς*, ibi non erit *h* 2. *τιμην Avς*, maiestatem *h* *εις αυτην Aς*, in ea *h* 3. *εις αυτην Aς*, in ea *h* *κοινον A*, *κοινοῦν ς*, immundum *h* *ποιων A*, *ποιοῦν ς* *και ψευδος Avς*, vitae *h* 5. *μοι Ahv Hilar* 22, *add καθαρὸν ς* 6. *ἐν* (*εμ A*) *μεσω της πλατειας Avς Hilar*, per mediam plateam *h* 7. *του ποταμου εντευθεν και εκειθεν* (*ἐντεῦθεν ς*) *Aς*, ex utraque parte fluminis *h* lignum *hv*, arborem *Hilar* 22 8. *ποιοῦν ς*, *ποιων A* *καρπους δωδεκα Ahvς*, fructum duodecies *Hilar* *κατα μηναν* (*μῆνα ἕνα ς*) *εκαστον Aς*, per singulos menses *h*, singulis mensibus *Hilar* *αποδιδουν Aς Hilar*, reddentes *h* 9. *του ξυλου εις Ahς*, arboris illius sunt ad *Hilar* 22 10. *και παν καταθεμα* (*κατανάθεμα ς*) *ουκ εσται ετι και Avς*, neque ullum maledictum iam erit sed *h* 11. *εν αυτη εσται Aς*, erit in ea *h* 12. 13. *επι των μετωπων Aς*, scriptum in frontibus *h* 13. *ουκ εσται ετι* (*ἐκεῖ ς*) *Aς*, iam non erit *h* 13. *seq και ουχ εξουσιν χριαν φωτος Av*, neque opus erit lumen *h*, *καὶ χρείαν οὐκ ἔχουσι ς*

eius non claudentur (clud. *F*) per diem: nox enim non erit (est *F*) illic: [26]et afferent (adf. *F*) gloriam et honorem gentium in illam (-a). (et portae-illam *om al*) [27]nec intrabit (-uit *FL*) in ea (illa *F*) aliquid coinquinatum [et *F*] faciens abominationem (abhom.) et mendacium, nisi qui scripti (scribti *pr F*) sunt in libro uitae [et] agni. (23) [1]Et ostendit mihi fluuium (flumen *F al*) aquae uiuae (uitae, *om al*) splendidum tamquam crystallum (chryst. *F*), procedentem de sede dei et agni. [2]in medio plateae (-tea) eius et ex utraque parte fluminis. lignum uitae afferens (adf. *F*) fructus (-ctos) duodecim, per menses singula reddentia (singulos reddentes *L*) fructum suum, et folia ligni ad sanitatem gentium. [3]et omne maledictum non erit amplius. et sedes dei et agni in illa erunt, et serui eius seruient illi [4]et uidebunt faciem eius, et nomen eius in frontibus eorum. [5]et nox ultra

φωτὸς λύχνου καὶ φωτὸς ἡλίου, ὅτι κύριος ὁ θεὸς φωτίσει ἐπ' αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 6καὶ εἶπέν μοι Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί, καὶ ὁ κύριος ὁ θεὸς τῶν πνευμάτων τῶν προφητῶν ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει. 7(καὶ ἰδοὺ ἔρχομαι ταχύ. ἔρχομαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.) 8κἀγὼ Ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα, καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσα προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα. 9καὶ λέγει μοι Ὅρα μή· σύνδουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ θεῷ προσκύνησον. 10καὶ λέγει μοι Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ὁ καιρὸς γὰρ ἐγγύς ἐστιν.

1. *και Aς*, neque *h* *φωτισει επ αυτους Ah*, *φωτίζει αὐτούς ς* 3. *πιστοι Aς*, fidelissimi (-ma *v*) *hv* *ο κυριος A*, *Κύριος ς* 4. *πνευματων των Ah*, *ἁγίων ς* 5. *και Av*, om *hς* 7. *καγω A*, *Καὶ ἐγὼ ς* *ακουων* (audivi) *και βλεπων* (vidi) *ταυτα Ahv*, *βλέπων ταῦτα καὶ ἀκούων ς* 8. *ἔβλεψα hvς*, *εβλεπον A* *επεσα A*, *ἔπεσον ς* 8. 9. *προσκυνησαι ἔμπροσθεν* (*προ A*) *τῶν* (*om A*) *ποδων του αγγελου Avς*, ante pedes angeli ut adorarem eum *h* 9. *του δεικνύοντός* (*διγνυοντος A*) *μοι ταυτα Aς*, qui mihi ista ostendit *h* ait *h* *μη Aς*, ne feceris *h* 10. *συνδουλος σου* (*add γάρ ς*) *Avς*, quia conservus tuus *h* *και alterum Avς*, *om h* 11. *λογους Avς*, *add* prophetiae *h* *τω θεω Aς*, magis deum *h* 12. ait *h*, dixit *Cypr* 314 13. *ο καιρος γαρ Av*, quia tempus iam *h*, quia iam tempus *Cypr* 254 314, *ὅτι ὁ καιρὸς ς* in proximo *h Cypr*

non erit, et non (*om al*) egebunt lumine (lumen *L*) lucernae (*om F*) neque [lumine *F*, lumen *L*] solis, quoniam dominus deus inluminabit (-nauit *F*, -nat *L al*) illos, et regnabunt in saecula saeculorum. (24) 6Et dixit mihi Haec uerba fidelissima et uera sunt (s. et u.), et dominus deus spiritum (omnipotens *L*) prophetarum misit angelum suum ostendere seruis suis quae oportet fieri cito. 7et ecce uenio uelociter. beatus qui custodit uerba prophetiae libri huius. 8et (*om FL*) ego Iohannes (-nnis), qui audiui et uidi haec (hoc), et postquam audissem et uidissem, cecidi ut adorarem (adorem) ante pedes angeli qui mihi haec ostendebat. 9et dicit mihi Vide ne feceris: conseruus (cums.) tuus sum et fratrum tuorum prophetarum et eorum qui seruant uerba libri huius: [deum adora. 10et dicit mihi Ne signaueris (uerba libri - sign. *om al*) uerba prophetiae libri huius: *om F*] tempus enim prope est. 11qui nocet noceat adhuc, et qui in sordibus

[11]Ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπανθήτω ἔτι, καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι. [12]ἰδοὺ ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ' ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον ἐστὶν αὐτοῦ. [13]ἐγὼ τὸ ἄλφα καὶ τὸ ὦ, πρῶτος καὶ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος. [14]μακάριοι οἱ πλύνοντες τὰς στολὰς αὐτῶν, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. [15]ἔξω οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς φιλῶν καὶ ποιῶν ψεῦδος. [16]ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐν ταῖς ἐκκλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ

1. *ο αδικων αδικησατω ετι Αvς*, et (ut et 254) hi (*om h*) qui perseverant nocere noceant *h Cypr* 254 314 *καὶ ὁ ῥυπαρὸς* (*ῥυπῶν ς*) *ῥυπανθήτω* (*ῥυπωσάτω ς*) *ἔτι hvς Orig* 4, 419^{c} *Cypr*, *om A* 1. 2. *και ο δικαιος δικαιοσυνην ποιησατω* (*δικαιωθήτω ς*) *ετι Αvς*, iustus autem (*add* adhuc *Cypr*) iustiora faciat *h Cypr* 254 314, *καὶ ὁ καθαρὸς καθαρισθήτω ἔτι Orig* 4, 419^{b} 2. *και ο αγιος αγιασθητω ετι* (*om Orig*) *Αvς Orig*, similiter et sanctus (qui sanctus est 254) sanctiora *h Cypr* 254 314 3. *ιδου Αhv*, *Καὶ ἰδοὺ ς* mecum est *hv* 4. *ως το εργον εστιν αυτου* (*αὐτοῦ ἔσται ς*) *Ας*, secundum facta (opera) sua *hv* *εγω Αv*, *ἐγώ εἰμι hvς Orig* 4, 6^{c} 21^{b} *Cypr* 294, *γέγονα Orig* 4, 23^{d} 4. 5. *το αλφα* (*α hv Orig Cypr*) *και το ω πρωτος* (*καὶ ὁ πρ. Orig*) *και* (*add ὁ Orig*) *εσχατος η αρχη και το τελος Αhv Orig* 4, 23^{d} *Cypr* 294, *τὸ Α καὶ τὸ Ω ἡ* (*om ς*) *ἀρχὴ καὶ τὸ* (*om ς*) *τέλος ὁ πρῶτος καὶ ὁ ἔσχατος ς Orig* 4, 6^{c}, *ἡ ἀρχὴ καὶ τὸ τέλος τὸ α καὶ τὸ ω ὁ πρῶτος καὶ ὁ ἔσχατος Orig* 4, 21^{b} 5. 6. *πλυνοντες* (laverunt *h*) *τας στολας αυτων Αhv*, *ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ ς Cypr* 294 7. *τοις πυλωσιν Ας*, per portas *h* *πολιν Ας*, *add* sanctam *h* *εξω Αv*, *add δὲ ς*, *add* autem remanebunt *h* 8. *φαρμακοι Ας*, malefici *h* 8. 9. *πας* (*add ὁ ς*) *φιλων και ποιων Αvς*, venefici et omnes qui amant et faciunt *h* 10. *ταυτα εν* (*ἐπὶ ς*) *ταις Αvς*, septem *h*

est sordescat adhuc, et iustus iustitiam (-tia *pr F*) faciat adhuc, et sanctus sanctificetur adhuc. [12]ecce uenio cito, et merces (mercis) mea mecum est, reddere uni cuique (quoique) secundum opera sua. [13]ego [sum *pr F al*] *α* et *ω*, primus et nouissimus, principium et finis. [14]beati qui lauant (labant *L*) stolas suas, ut sit potestas eorum in ligno uitae et portis (per portas) intrent in ciuitatem [sanctam]. [15]foris canes (-nis) et uenefici (benef. *pr F*) et inpudici (-citiae *F*) et (*om al*) homicidae (et hom. *om F*) et idolis seruientes et omnis qui amat et facit mendacium. (25) [16]Ego Iesus misi angelum meum, testificari (-ficiari *L*) nobis haec in ecclesiis (-sias). ego sum radix et

τὸ γένος Δαυείδ, ὁ ἀστὴρ ὁ λαμπρὸς καὶ ὁ πρωϊνός. 17Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν Ἔρχου. καὶ ὁ ἀκούων εἰπάτω Ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω, ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν.

18Μαρτυρῶ ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. ἐάν τις ἐπιθῇ ἐπ' αὐτά, ἐπιθήσει ὁ θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ. 19καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.

20Λέγει ὁ μαρτυρῶν ταῦτα Ναὶ ἔρχομαι ταχύ. Ἀμήν, ἔρχου, κύριε Ἰησοῦ.

21Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ μετὰ πάντων.

1. δαδ *A*, τοῦ Δαβὶδ ς   ο προϊνος *A*, ὀρθρινός ς, matutina *hv*   2. νυμφη *Avς*, nova nupta *h*   ερχου *A*, Ἐλθὲ ς, age *h*   ερχου *A*, Ἐλθὲ ς, veni *hv*   3. ερχεσθω *Av*, ἐλθέτω καὶ ς, veniat et bibat et *h*   λαβετω *A*, λαμβανέτω ς   4. μαρτυρω εγω παντι τω ακουοντι *A*, Συμμαρτυροῦμαι γὰρ παντὶ ἀκούοντι ς, testor ego iohannes omnes qui audiunt *h*   5. επιθη επ αυτα *A*, ἐπιτιθῇ πρὸς ταῦτα ς, addiderit ad haec *h*   6. ἐπ' αὐτὸν *hvς*, om *A*   τω *A*, om ς   7. αφελη *Ahv*, ἀφαιρῇ ς   απο (de) των λογων του (om ς) βιβλιου (βίβλου ς) της προφητειας ταυτης *Avς*, om *h*   8. αφελει *A*, ἀφαιρήσει ς   θεος *Avς*, dominus *h*   απο του ξυλου *A*, ἀπὸ (de) βίβλου *hvς*   και *A*, καὶ ἐκ *hvς*   9. των (καὶ τῶν ς) γεγραμμενων *Aς*, scripta *h*   τω *A*, om ς   10. ναι *Avς*, om *h*   αμην *Av*, etiam *h*, ἀμήν. Ναὶ ς   11. κυριε *Avς*, o domine *h*   12. ιησου *A*, ἡμῶν Ἰησοῦ Χριστοῦ ς   παντων *A*, add ὑμῶν Ἀμήν ς   αποκαλυψις ιωαννου *A*

genus Dauid, stella splendida et matutina (splendidaematudinum). 17et spiritus et sponsa dicunt (dicit *F*) Veni. et qui audit dicat Veni. et (om *L al*) qui sitit ueniat, [et] qui uult accipiat aquam uitae gratis. 18contestor ego omni audienti (audenti *F*) (a. o.) uerba prophetiae libri huius (uius). siquis apposuerit (adp. *F*) ad haec, apponet (adp. *F*, -nit) deus super illum plagas (placas) scriptas (scribt. *F*) in libro isto. 19et siquis deminuerit (dimin. *F*) de uerbis libri (om *L*) prophetiae huius (uius), auferet deus partem eius de ligno (libro *F al*) uitae et de ciuitate sancta et de his (is) quae scripta (scribta *pr F*) sunt in libro isto. 20dicit (dicet *F*) qui testimonium perhibet (peribet) istorum Etiam, uenio cito. Amen, ueni, domine Iesu (a. u. d. I. *om al*). 21gratia domini nostri Iesu Christi cum omnibus [uobis *om L*]. [amen *L al*].

Exp. apocalypsis sancti Iohannis feliciter *F*. Explicit liber apocalypsis sancti Iohannis apostoli et euang. deo gratias *L*. Expliciunt apocalipsis. amen *al*.

BEROLINI TYPIS G. REIMERI

00059071